PB
2412
.S6 E6
1637C

THE SHERIDAN LIBRARIES
3 1151 03711 7920

LSC
4•4•21•3

SOCRAT
&C
EPIST:
ALLAT:

Hd
14



LIBRARY
OF
THE JOHNS HOPKINS UNIVERSITY



THE FRIENDS OF THE LIBRARY
BEQUEST
OF
RAYMOND DEXTER HAVENS
PROFESSOR OF ENGLISH LITERATURE
1925-1954

H. 11. 12.
a 5 8
0—5—6
Us. 18

Edidit Leo Allatius Socraticorum Epistolas, quas ab illis ipsis Viris quorum Nomina præferunt conscriptas fuisse Dialogo satis prolixo vehementer contendit, sed frustra; temporum enim Ratio minime patitur. v. Pearsony Vindic. Ignat. p. 11. fol. 13. ubi Argumenta producuntur plurima quæ consule

Non Civium Ardor prava jubentium. Conscientia Mille Testes.

SOCRATIS,

ANTISTHENIS,

ET ALIORVM

SOCRATICORVM

EPISTOLÆ.

LEO ALLATIVS

HACTENVS NON EDITAS PRIMVS
Græcè vulgauit; Latinè vertit; Notas adiecit;
Dialogum, De Scriptis Socratis, præfixit.



PARISIIS,
Sumptibus SEBASTIANI CRAMOISY, Typographi
Regij, via Iacobæa, ſub Ciconiis.

M. DC. XXXVII.
CVM PRIVILEGIO REGIS.

PB 2 412
.S6 E6
1637

Πᾶσι μὲν τοῖς ἀρχετύποις, αὐτοφυής τις ἐπιπρέπει χάρις, καὶ ὥρα. τοῖς δ' ἀπὸ τούτων κατεσκευασμένοις, κἂν ἐπ' ἄκρον μιμήσεως ἔλθωσι, πρόσεστί τι ὅμως τὸ ἐπιτετηδευμένον, καὶ οὐκ ἐκ φύσεως ὑπάρχον.

Dionyſius Halicarnaſſeus in Dinarcho.

AMPLISSIMIS,
ET INTEGERRIMIS VIRIS
PETRO, ET IACOBO

PVTEANIS FRATRIBVS

CLAVDII FILIIS
LEO ALLATIVS S. P. D.

VIRORVM ſapientiſſimi Socratis renaſcentes meo cultu, ac ſtudio Epiſtolas, quibus offerrem potiùs, quàm Vobis, nobiliſſimi, doctiſſimique Puteani? qui ſapientiæ nomine cluitis non modò in Vrbe, aut Orbe Gallico, ſed vbicumque meliores Artes, humanioréſque vigent; quarum tamquam Antiſtites myſteria colitis, diſpenſatíſque ex arbitrio, ac nutu; vt ſi quis in Muſarum ſacratium

Vobis inconſultis penetrare aueat, aut illarum tholis quicquam ſuſpendere, is æquè imprudenter, ac ille faciat, qui velit, neglecto Virtutis aditu, templum Honoris conſcendere. Vos nempè Agonothetæ ludorum omnium, qui in Parnaſſo, & Helicone celebrantur; Vos arbitri eſtis, qui legitimos ingeniorum fœtus oppidò meliùs dignoſcitis, quàm Germanorum Rhenus. Nec minùs conatus omnium vrgetis,

Horat. epiſt.1.lib.2.

Vt ſtudio maiore petant Helicona virentem:
adeò vt Athenas ipſas Lutetiam commigraſſe, ſedémque poſuiſſe in Puteanorum candidiſſimo pectore, in inſtructiſſima illa non editorum modò, ſed & MS. Codicum ſupellectile, in Porticu tot eruditiſſimorum hominum, qui in ipſam quotidie conueniunt, vocibus perſonante; eruditi omnes haud dubiè fateri cogantur. Hîc enim tantùm, odij, & amoris expers, auditur prolata ſententia: hîc ſine fuco, & mendaciis conſpicitur veritas: hîc exarmata aculeo regnat ſeueritas, & purum ab adulatione, integrúmque de omnium Operibus iudicium prodit. Quamobrem, cùm optimum quemque iuuare, mutuis officiis proſequi, in tutelam recipere, pro more, inſtitutóque domeſtico habeatis: quidni tales Vos erga Socra-

tem , bonorum omnium Parentem , futuros pollicear? cuius nunc Epiſtolæ, mirum quo fato , in hanc vſque ætatem ſeruatæ, nec à me vindicatæ tantùm à blattis , ſed Auctori ſuo aſſertæ, variíſque Notis , & Animaduerſionibus auctæ, veſtram ſe in clientelam addicunt. Hanc illæ opem ab humanitate veſtrâ & impensè ſperant , & depoſcunt enixè : quo per obtrectatorum, atque imprudentium Criticorum iniuſtos, atque inſulſos, penéque dixerim fanaticos conatus euadant illæſæ, victricéſque temporis, & inuidiæ : animóſque mihi in poſterum addant, plurima partim meo marte elaborandi , partim etiam è latebris antiquitatis cum ſedulitate, ac ſtudio eruendi. Id, ſi mihi ita fauentes annueritis, Clariſſimi Puteani, facturum me veſtris auſpiciis in dies voueo , ſpondeóque. Valete.

SVMMA PRIVILEGII.

LVDOVICI XIII. *Galliæ & Nauarræ Regis auctoritate ſancitum eſt, & patentibus eius Litteris cautum, ne quis in Regno ipſius, aliiſve locis eius ditioni ſubiectis, intra nouem proximos annos à die impreſſionis primæ inchoandos & numerandos, excudat, vendat, excudendum, vendendúmque quouis modo & ratione curet Librum, qui inſcribitur*, Socratis, Antiſthenis, *&c.* & aliorum Socraticorum Epiſtolæ, LEONE ALLATIO Interprete, *&c. præter Sebaſtianum Cramoiſy Typographum Regium ordinarium, atque Bibliopolam Iuratum, Ciuémque Pariſienſem, aut illos quibus ipſemet conceſſerit. Prohibitum inſuper eadem auctoritate Regia omnibus eius ſubditis, eumdem Librum extra Regni ſui limites imprimendum curare, vel quempiam, vbicumque fuerit, ad id agendum impellere ac inſtigare, ſine conſenſu dicti Sebaſtiani Cramoiſy, ſub pœna confiſcationis librorum, aliiſve pœnis originali diplomate contra delinquentes expreſſis. Datum Lutetiæ 17. Decembris 1636.*

Sic ſignatum, De mandato Regis, VICTON.

Imprimantur, ſi videbitur Reuerendiſſimo P.M.S.P.A.

A. TORNIELLVS Vicesp.

QVAS nunc primùm in lucem ſuſcipimus, auſpice Leone Allatio, Socratis, & Socraticorum Epiſtolas, Notis item, ac Dialogo ab eodem illuſtratas; arbitratu Reuerendiſſimi P. Magiſtri ſacri Palatij Apoſtolici, perlegi; nec in iis quicquam offendi, quod vel offenſa morum ſanctitas horreat, vel improbet Fides. Quamobrem egregia hæc monumenta, cum erudita Viri doctiſſimi, atque optimè de antiquitate meriti, pietate, qua ſcribentem Socratem à Scriptorum, ac temporis iniuria vindicauit; ad poſteritatem æquè demerendam, publico rei litterariæ bono, typis conſignanda cenſeo. Romæ die 13. Septembris 1635.

GASPAR DE SIMEONIBVS.

Imprimantur.

F. NICOLAVS RICCARDIVS, ſacri Palatij Apoſtolici Magiſter.

INDEX.

EPISTOLÆ

Socratis,
Antiſthenis,
Ariſtippi,
Simonis,
Xenophontis,
Æſchinis,
Platonis,
Phædri,
& aliorum Socraticorum.

Leonis Allatij Dialogus de Scriptis Socratis.

Eiuſdem Notæ in Socratis & aliorum Socraticorum Epiſtolas.

SOCRA-

ΣΩΚΡΑΤΟΥΣ, ΚΑΙ ΕΤΕΡΩΝ ΣΩΚΡΑΤΙΚΩΝ ΕΠΙΣΤΟΛΑΙ.

SOCRATIS, ET ALIORVM SOCRATICORVM EPISTOLÆ;

LEONE ALLATIO *Interprete.*

Socratis. I.

PROPOSITVM meum, & inſtitutum, vt videris, minimè cõſequeris. Neque enim iteratis literis, & vberioribus donis oblatis, ſolicitares. Verùm tu, vti So-

Σωκράτους α.

ΔΟΚΕΙΣ μοι τὸ ἐμὸν μὴ συνιέναι γνώμην. οὐ γὰρ ἂν τὸ δεύτερον ἐπέστελλες, καὶ πλέονα δώσειν ὑπισχνοῦ. ἀλλ' ὥσπερ τοὺς σο-

φιστὰς, καὶ Σωκράτην φαί-
νῃ ὑπονοεῖν παλιμπρατεῖν
ὠνὰ εἶναι παιδείας, καὶ τὰ πρό-
τερον γράψαι οὐχ ἁπλῶς
αἱρούμενον· ἀλλ' ἐπὶ πλείοσι
τοῖς τότε διδομένοις ὑπὸ σοῦ.
νῦν δ' οὖν ὑπερβολὰς ὑπι-
σχνῇ, καὶ τὰ πλήθη τῶν διδο-
μένων οἴει με παραστήσεσθαι,
καταλιπόντα τε τὴν Ἀθήνη-
σι διατριβὴν παρὰ σὲ ἥ-
ξειν· τὸν οὐδ' ὅλως καλὸν
νομίζοντα τοὺς ἐν φιλοσο-
φίᾳ πιπράσκειν λόγους, ἐ-
μοί τε καὶ σφόδρα ἀήθες.
ἀφ' οὗ γὰρ προσῆλθον αὐ-
τῇ, τοῦ Θεοῦ κελεύσαντος
φιλοσοφεῖν, παρ' οὐδενὸς οὐ-
δὲν εἰληφὼς εὑρεθήσομαι,
ἀλλὰ τὰς διατριβὰς ἐν
κοινῷ ποιούμενος, ἐπίσης ὁ-
μοίως ἀκούειν τοῖς ἀεὶ ὄν-
τι τε, καὶ μή. καὶ οὔτε ἐγ-
κλεισάμενος φιλοσοφῶ, κα-
θάπερ Πυθαγόρας ἱστορεῖται·
οὔτε εἰς τὰ πλήθη παριὼν
τοὺς βουλομένους ἀκούειν ἀρ-
γύριον εἰσπράττω· ὅπερ ἄλλοι
τέ τινες πρότερον ἐποίησαν,
καὶ τῶν καθ' ἡμᾶς ἔνιοι ποιοῦσιν.

phiſtas reliquos, ita & Socratem vænalem doctrinarum mercaturam facere ducis, ſi mea me ſententia non fallit; ideóque ad ea, quæ priùs ſcripſeras animum non applicaſſe, applicaturum, ſi largioribus muneribus cumulaſſes. Nunc porrò montes auri polliceris, & congeſtorum donorum copia tantùm te perficere putas, vt ad te, commerciis, quæ mihi cum Athenienſibus ſunt, neglectis, aduolem. Sanè ſermones, rationéſque Philoſophicas vænales exponere omninò indecorum eſt, & à mea conſuetudine mirùm quantùm recedit. Ex quo namque me familiariter in Philoſophiam, hæc ſiquidem mandata à Deo habebam, inſinuaui, ac dedi, quippiam ab aliquo accepiſſe, nuſquam redarguar, qui in publicum congredior, æquè omnibus audiendi, etiamſi nolint, poteſtate facta. Neque enim clàm aliis, ac foribus obſeratis, quod de Pythagora tradunt, Philoſophiæ operam do: neque in publicum egreſſus, ab iis, qui ad audiendum ſe conferunt, pecuniam extorqueo: quod nonnulli ſuperiori æuo factitarunt, & hac tempeſtate plerique faciunt.

Nam ad vſus vitæ neceſſaria mihi ego ex me ſuggero, nec fallor: dapſilem rerum copiam, vbi nactus fuero, non habeo apud quem deponam. Iis ſiquidem, qui daturi ſunt, neminem mihi fore fideliorem puto. quorum ſi fidem ſuſpectam habeo, etiam depoſitum confidens, neque catus, neque prudens iudicabor. ſi probis moribus fuerint homines, licèt nihil dederim, accipere tamen ab eis nihilominùs fas erit. Neque enim pecuniarum fidi, gratiarum infidi cuſtodes erunt. Et depoſito nos priuare nunquam illi in animum inducent: pro iis verò, quibus & pecunias tradidiſſent, priùs gratis à nobis acceptis, nos eorum indigentes negligent. ſed enim, vt verbo expediam, par eſt, ſi amici fuerint, multa etiam ex propriis in nos profundere, ſi non fuerint, multa etiam ex noſtris hianti deſiderio ſurrepta ſibi conquirere. Mihi deinde ad conſeruandas opes tempus non ſuppetit. admirationéque eorum ducor, qui ſe eorum gratia ita comparare fatentur, ſed vt videntur, eos quoque lucri cauſa admittunt: & cùm diſciplinam negligant, aucu-

ὁρῶ γὰρ ὅτι τὰ μὲν ἀρκοῦντα, καὶ παρ' ἐμαυτοῦ ἔχω· τὰ δ' εἰς περιουσίαν, πρῶτον μὲν οἷς ἂν λαβὼν παρακαταθῶμαι οὐχ εὑρίσκω, οὐδένα γὰρ τῶν δωσόντων μοι πιστότερον. οὓς εἰ μὲν φαύλους ὑπολήψομαι, οὐδὲ παρακατατιθέμενος αὖθις ὀρθῶς δόξω φρονεῖν. παρὰ χρηστῶν δέ μοι ἔξεστι καὶ μηδὲν δόντι λαμβάνειν. οὐ γὰρ ἀργυρίου μὲν φύλακες πιστοὶ ὑπάρξουσι, χάριτος δὲ ἄπιστοι. οὐδὲ ὃ μὲν δοθὲν οὐκ ἂν ἀξιώσαιεν ἀποστερεῖν, ἐφ' οἷς δὲ καὶ τὸ ἀργύρειον ἐδίδοσαν πρότερον προῖκα εἰληφότες παρ' ἡμῶν, περιόψονται ἡμᾶς ἀπορουμένους. ἑνὶ δὲ κεφαλαίῳ εἰκός, φίλους μὲν ὄντας πολλά, καὶ τῶν ἰδίων, ὡς ὑμῖν προέσθαι, φίλους δὲ μὴ ὑπάρχοντας ἔνια καὶ τῶν ἡμετέρων προσαποστερεῖν ζητήσειν. αὐτὸς δὲ ὥστε τηρεῖν ἀργύρειον οὐκ ἄγω σχολήν. Θαυμάζω δὲ καὶ τῶν λοιπῶν, οἳ παρασκευάζεσθαι μὲν φασιν αὐτῶν χάριν, φαίνονται δὲ καὶ αὐτοὺς διὰ τὰ κέρδη ἀποδεχόμενοι καὶ παιδείας ὀλιγωροῦντες χρη-

ματισμοῦ ἐπιμελοῦνται. τοιγαροῦν τῆς μὲν κτήσεως θαυμάζονται, τῆς δὲ ἀπαιδευσίας καταγελῶνται, καὶ τῶν ἄλλων πάντων μακαρίζονται, πλὴν ἑαυτῶν. καίτοι πῶς οὐ δεινόν, ἐπὶ μὲν φίλῳ δοκεῖν εἶναι αἰσχρὸν ἡγεῖσθαι, καὶ μηδὲ ἂν βιῶναι βούλεσθαι ἑτέροις ὄντα πρόσθεσμα, καὶ ἀλλοτρίων παρασιτοῦντα ἀγαθῶν· ταὐτὸ δὲ τοῦτο πρὸς τὰ χρήματα πεπονθότα μὴ αἰδεῖσθαι; ἢ οὐκ ἴσμεν ὅτι καὶ τιμῶνται οὗτοι διὰ τὸν πλοῦτον, καὶ μεταπεσούσης τῆς τύχης ἐν ἀτιμίᾳ διάγουσι τῇ πάσῃ; ὥστε μηδὲ τιμωμένους αὐτοὺς χαίρειν, οὐ γὰρ ἐφ᾽ ἑαυτοῖς τιμῶνται, ἀτιμαζομένους δὲ πολὺ μᾶλλον ἄχθεσθαι· τὸ γὰρ ἀτιμαζόμενον, καὶ δι᾽ ὃ περιορῶνται, αὐτοί εἰσιν. πρῶτον μὲν οὖν οὐκ ὀρθῶς ὑπέλαβες, εἰ Σωκράτην οἴει τι ἀργυρείου ποιήσειν, ὃ μηδὲ καὶ προῖκα αὐτῷ καλῶς εἶχε πρᾶξαι. καὶ πρὸς τούτῳ ἐκεῖνο οὐκ ἐλογίσω, ὅτι ἐνταῦθά με πολλὰ κατέχει, καὶ τὸ μέγιστον αἱ τῆς πατρίδος χρεῖαι. καὶ μὴ θαυμάσῃς, εἰ καὶ τῇ πατρίδι χρείας τινὰς

pandis opibus operam dant. Itaque rerum ſupellectile admirationi, inſcitia deridiculo ſunt: & aliis omnibus rebus præterquam ſemetipſis felices ac beati iudicantur. At quomodo non durum erit, cùm in amico turpe adeò eſſe ducimus, vt vel priuari vita aueat, ſi aliis ſe applicans oneri fuerit, aliorúmque bona venando abſumat: cùm idem pariter erga pecunias afficiatur, nullo illum rubore ſuffundi? An non nouimus hoſce tantùm propter opes in pretio haberi, & fortuna illa pereunte, dedecoris, ac ignominiæ maculis omnibus notari? adeo vt in honoribus ipſis gaudia mœrore, neque enim ſui gratia honorantur, contaminent, & in ignominia magis impenſè indoleant: inhonoratum enim, & cuius cauſa negliguntur, ipſi ſunt. Primùm ergo minùs benè exiſtimas, ſi animum induxiſti tuum, vt opinareris Socratem, quod ipſi gratis agere indecorum viſum eſt, id pecuniarum cauſa facturum. Ad hæc neque id attendiſti, me hîc multa, ſed potiſſimùm Patriæ vſus, neceſſitatéſque detinere. Neque mireris, ſi Patriæ vſus nonnullos

præbere, quamuis neq; rebus militaribus obeũdis, neque orationibus dicendis exerceor, aſſeueraui. Nam primùm, vt opinor, pro ſuo quiſque modulo, quæ in rem ſint, ea faciet. At maiora, vel minora conferre, non in illius ſunt facultate, ſed horum quidem apud alios cauſam eſſe, illorum verò apud ipſum. Deinceps in ſimili Ciuitate non iis, qui vel in Conſiliis adſint, vel terra, marique copias ducant, ſed iis etiam opus eſt, qui ad vtilia vrbis ſe promouentes moderentur. Etenim haud mirum eſt ex illis nonnullos pondere, ac magnitudine rerum oppreſſos, veluti ſomno confectos obtorpeſcere, quibus excitandis ſtimulis opus eſt. His me Deus præfecit. Hincque non immeritò odioſus, iiſdem iniquioribus vtor. Verùm ille, vt hinc abeam, non permittit, cui obediendum potiſſimùm duco. Ille enim, quod & conuenit, meliùs me vtiliora, ac potiora cognoſcit, quando, cùm primò compararem me ad iter, ipſe inhibuit; & cùm ſecundò ſcriberes, interdixit, cui libens morigeror, dictiſque aſſeruio. & Pindarum ſanè

φαμὲν ἐκεῖνον, ὅτι οὔτε ἐν στρατηγίαις, οὔτε ἐπὶ τοῦ βήματος ἐξετάζομαι. πρῶτον μὲν γὰρ οἶμαι, καθ' ὃ δύναται ἕκαστος ὠφελεῖν, ἐξετάζεσθαι. τὸ δὲ μείζονα, ἢ ἐλάττω πράττειν, οὐκ ἐπ' αὐτῷ ἐστιν· ἀλλὰ τῶν μὲν ἑτέρων ἔχειν τὴν αἰτίαν, τοῦ δὲ καθάπαξ αὐτός. ἔπειτα οὐ τῇ τοσαύτῃ πόλει συμβουλευσάντων δεῖ μόνον, οὐδὲ τῶν ἡγησομένων κατὰ γῆν, ἢ καὶ κατὰ θάλατταν, ἀλλὰ καὶ τῶν ἐπιστησόντων· τοὺς ἐπὶ τὰ τῇ πόλει συμφέροντα ἰόντας. οὐδὲ γὰρ θαυμαστὸν, ὑπὸ μεγέθους τῶν ἐπικειμένων, οἷον ἀποκοιμίζεσθαι ἐνίους αὐτῶν, οἷς τοῦ ἐπεγείροντος ὥσπερ μύωπος δεήσει. πρὸς ἃ δὴ καὶ ἐμὲ ἔταξεν ὁ Θεός. ἐπιεικῶς μὲν οὖν ἀπεχθάνεσθαί μοι συμβαίνει ἀπ' αὐτοῦ. ἀλλ' ἐκεῖνος ἀφίστασθαι οὐκ ἐᾷ, ᾧ πειστέον μᾶλλον. εἰκὸς γὰρ τό γε ὑγιὲς ἐμοῦ κρεῖττον αὐτὸν εἰδέναι· ἐπεὶ καὶ πρὸς σὲ βουλομένῳ ἀπεῖπε μὴ ἰέναι· καὶ τὸ δεύτερον πέμψαντός σου ἀπηγόρευσεν. ἀπειθεῖν δὲ αὐτῷ ὀκνῶ, καὶ τὸν Πίνδαρον

ἡγούμενος εἰς τοῦτο εἶναι σο-
φὸν, ὅς φησι· Θεοῦ δὲ δεί-
ξαντος ἀρχὴν, ἕκαστον ἐν πρᾶ-
γος, εὐθεῖα δὴ κέλευθος ἀρε-
τὴν ἑλεῖν, τελευταί τε καλλίο-
νες. σχεδὸν γὰρ οὕτω που αὐτῷ
ἔχει τὸ Ὑπόρχημα. πολλοῖς
δὲ πολλὰ καὶ τῶν ἄλλων εἴ-
ρηται ποιητῶν περὶ Θεῶν. καὶ
ὅτι τὰ μὲν κατὰ τὴν τούτων βού-
λησιν πραττόμενα ἐπὶ τὸ λῷον
ἐκβαίνει, τὰ δὲ παρὰ Θεὸν ἀ-
λυσιτελῆ ὑπάρχει τοῖς πρά-
ξασιν. ὁρῶ δὲ καὶ τῶν πόλεων τῶν
Ἑλληνίδων τὰς φρονιμωτάτας
συμβούλῳ χρωμένας τῷ ἐν
Δελφοῖς Θεῷ. καὶ ὅσαι μὲν ἂν
τούτῳ πειθόμεναι πράττωσιν,
πρὸς ὠφέλειαν αὐταῖς γινομέ-
νας, ὅσαι δ᾽ ἂν ἀπειθήσωσιν, ὡς
τὸ πολὺ βλαπτομένας. οὐ θαυ-
μάσαιμι δ᾽ ἄν, εἴ μοι περὶ τοῦ
δαιμονίου ἀπιστήσειας λέγοντι. ἤ-
δη γὰρ πρὸς μὲ καὶ ἄλλοι οὕτως
διετέθησαν οὐκ ὀλίγοι, πλεῖστοι δέ
μοι ἠπίστησαν ἐν τῇ ἐπὶ Δηλίῳ
μάχῃ. παρῆν γὰρ τότε τῇ στρατείᾳ,
καὶ συνεμαχόμην πανδημεὶ τῆς
πόλεως ἐξεληλυθυίας. ἐν δὲ τῇ
φυγῇ ἅμα πολλοὶ ὑπαπήειμεν,

in hoc ſapientia pectus mu-
niſſe mihi autumo, qui di-
cit, Deo monſtrante ad opus
quodlibet principium, recta
erit ſemita ad aucupandam
virtutem, & fines illuſtrio-
res: ferè enim in hunc mo-
dum Hyporchema illi effu-
ſum eſt. Pleraque item alia
pluribus Poëtis de Diis edi-
ta referuntur. quæ ſcilicet
eorum conſilio fiunt, felicio-
ri exitu terminari: quæ præ-
ter Dei nutum, inutilia o-
perantibus accidiſſe. Græca-
rum prætereà Vrbium, quæ
cæteras prudentia antecel-
lunt, Deum apud Delphos,
vt mihi conſpicuum eſt, con-
ſulunt, & quæ imperio au-
dientes rem peregerint, tem-
peſtiuos fructus ex eo cœpê-
re, quæ non obtemperarunt,
vtplurimùm maximis noxis
confectæ ſunt. Porrò neuti-
quam mihi admirationi erit,
ſi de Dæmonio dicenti non
credes. iam enim & alios,
eóſque non paucos erga me
comperi ita animo affectos.
At plerique in Delienſi con-
flictu non credidêre. Aderam
ſiquidem tunc in exercitu, &
cum vniuerſo populo vrbe
egreſſo cum hoſtibus con-
greſſus ſum. in fuga ſimul plu-
res animum deſpondimus;

vtque in traiectionem neſcio quam peruenimus, conſuetum mihi ſignum ſucceſſit. Inſtiti itaque, dixíque. Hac via eundum non eſt, viri, ſed alia, vt mihi videtur; Dæmonis quippe vox oborta eſt. eorum itaque potior pars, quaſi præter tempus in non ludendis luderem, ira ſuccenſi rectà iter contendebant. Pauci ſuaſi vnà mecum aduerſo itinere, ac ſi domum properaremus, incolumes Patriæ redditi ſumus. Alios, vnus ex illis cùm aduenisſet, omnes, dixit, interiiſſe. Nam in equitum hoſtilium à perſequendo redeuntium turmas incidiſſe, contra quos primùm quidem armis decertare, deinceps ab illis, qui in maiori copia erant, circumcluſos, pedem referre, oppreſſóſque tandem ad internecionem cæſos fuiſſe. Horum nuncius etiam ipſe vulnere grauis, cum ſcuto ſolo ſoſpes aduenerat. Multa item aliquibus priuatim, præceptore Deo, de futuris euentibus prædixi. Tu verò & Regni partem offers, exoráſque vt iter capeſſam, non tanquam imperium nouum, ac dominatum ſubiturus, ſed ex aduer-

καὶ ὡς ἐπὶ διαβάσεώς τινος ἐγενόμεθα, συνέβη μοι τὸ εἰωθὸς σημεῖον. ἀνέστην οὖν καὶ εἶπον. ἄνδρες, οὔ μοι δοκεῖ ταύτην πορεύεσθαι, τὸ γὰρ δαιμόνιόν μοι ἡ φωνὴ γέγονεν. οἱ μὲν οὖν πλείους πρὸς ὀργὴν, καὶ ὡσπερεὶ παίζοντος ἐμοῦ οὐκ ἐν ἐπιτηδείῳ καιρῷ, ὁρμήσαντες εὐθεῖαν ἐβάδιζον. ὀλίγοι δέ τινες ἐπείσθησαν, καὶ τὴν ἐναντίαν ἐμοὶ συναπετράποντο, οἴκαδέ τε πορευόμενοι διεσώθημεν. τοὺς δὲ ἄλλους, ἥκων τις ἐξ αὐτῶν πάντας ἔφη ἀπολωλέναι. εἰς γὰρ τοὺς ἱππέας ἐμπεσεῖν τῶν πολεμίων ἐπανιόντας ἀπὸ τῆς διώξεως. πρὸς οὓς τὸ μὲν πρῶτον μάχεσθαι, ὕστερον δὲ περικλειομένους ὑπ' αὐτῶν πλειόνων ὄντων ἐκκλίναντας, καὶ περικαταλήπτους γενομένους πάντας ἀπολέσθαι. αὐτὸς δὲ ὁ ταῦτα ἀπαγγέλλων τραυματίας ἀφῖκτο, μόνην τὴν ἀσπίδα σώζων. πολλὰ δὲ καὶ ἰδίᾳ προηγόρευσα ἐνίοις τῶν ἀποβησομένων, διδάσκοντος τοῦ Θεοῦ. σὺ δὲ καὶ τῆς βασιλείας ἔφησας μέρος διδόναι, καὶ παρακαλεῖς μὴ ὡς ἀρξόμενον βαδίζειν, ἀλλ' ὡς τοιώσ-

τίον ἄρξοντα, καὶ τῶν ἄλλων, καὶ τοῦ αὐτοῦ. ἐγὼ δὲ μεμαθηκέναι τε ἄρχειν οὔ φημι, μὴ εἰδὼς τε οὐκ ἂν δεξαίμην μᾶλλον βασιλεύειν, ἢ κυβεύειν μὴ ἐπιστάμενος. οἶδα δὲ, ὅτι εἰ καὶ οἱ ἄλλοι ἄνθρωποι ὁμοίως διέκειντο, ἧττον ἂν ἦν κακὰ ἐν τῷ βίῳ. νῦν δ' ἡ τῶν μὴ ἐπισταμένων τόλμα ἐπιχειροῦσα οἷς μὴ ἴσασιν, εἰς τοῦτο ταραχῆς αὐτὰ περιάγει. ὅθεν καὶ τὴν τύχην ἔτι μείζω πεποίηκεν, τῇ ἐκείνων ἀνοίᾳ τὴν ταύτης ἐξουσίαν αὐξάνουσα. καὶ μέντοι οὐδὲ ἐκεῖνο ἀγνοῶ, ὅτι ἐνδοξότερόν ἐστι, καὶ περιβλεπτότερον μᾶλλον εἰκὸς ἰδιώτου βασιλέα ὄντα. ἀλλ' ὥσπερ οὐδὲ ἐφ' ἵππου ἂν εἱλόμην καθέζεσθαι ἄπειρος ὢν ἱππικῆς, ἀλλ' ἐλυσιτέλει μοι πεζῷ εἶναι, κἂν εἰ ταπεινότερος πολὺ τοῦ ἱππέως ἦν. οὕτω καὶ περὶ βασιλείας, καὶ ἰδιωτείας φρονῶ· καὶ οὐκ ἂν ὑπ' ἐπιθυμίας τῆς μειζόνων ἐξαρθεὶς ἐπιφανεστέρων ὀρεχθείην συμφορῶν. ἐοίκασι δὲ καὶ οἱ πρῶτοι μυθολογήσαντες τὰ περὶ τὸν Βελλεροφόντην, τούτῳ τι παραπλήσιον αἰνίξα-

ſo aliis, & tibi imperaturus. Aſt ego aliis imperare non didici, & fateor; idque cùm neſciam, nunquam in alios imperium exercendum ſuſciperem, nihil minus, ſicuti nec talis ludere, vbi talorum vſum non norim. Et ſanè minora, aut nulla eſſent vitæ humanæ incommoda, ſi & reliqui homines vna mecum ſentirent. Nunc imprudentium audacia, ea, quæ ipſi ignorant, agreſſa in maximas turbas res ipſas compellit. Hinc etiam Fortunæ vires, eorum ſtoliditate illius imperio adaucto, maiores, quàm par ſit, effectæ ſunt. Præterea neque illud ignoro rationabilius eſſe Regem priuato ipſo magis, omnium laude, atque admiratione decorandum eſſe. Et quemadmodum equo inſidere nollem, equeſtris ſcientiæ ignarus, ſed vtilius mihi foret, equite licèt multò inferiorem peditem eſſe; ita & de Rege, & de priuato iudicium fero: neque maiora poſſidendi cupiditate inflatus, illuſtriores etiam, ac magis notas calamitates expoſcerem. Videntur autem qui res Bellerophontis in fabulas primi detulere, ſimile quid innuiſſe.

nuiſſe. Neque enim quòd editiorem locum concupierit, ſed quòd res grandiores, & ſupra vires difficiliores appetierit, incommodis, ac infortuniis poſthac diuexatum fuiſſe. Nam à ſpe, quam ſibi finxerat, turpiter, fœdiſſiméque deiectus, reliquorum omnium naufragium fecit, propter exprobrantes, neglectis vrbibus, in ſolitudinem digreſſus, rectiſque tramitibus deperditis, non quos nos ita vocare conſueuimus, ſed libera agendi ratione è magnitudine animi profecta, qua vniuſcuiuſque vita perfectè dirigitur. Sed hæc modo, quo Poëtis placet, percipiantur. Quod ad me attinet, iam altera vice habeto. Nunquam hiſce noſtris, quæ tuis potiora duco, renunciabo. Non placet item Deo, cui ad hunc diem veluti conſiliario, & procuratori, me meámque operam deuoui.

σθαι. οὐ γὰρ ὅτι, οἶμαι, τόπου ὑψηλοτέρου ἐπεθύμησεν, ἀλλ' ὅτι πραγμάτων μειζόνων ἢ καθ' ἑαυτὸν ὠρέχθη, μετὰ ταῦτα αὐτῷ συμφοραὶ ἐγένοντο. καταπεσὼν γὰρ ἀπὸ τῆς ἐλπίδος, αἰσχρῶς καὶ ἐπονειδίστως τὸν λοιπὸν ἔζη βίον, διὰ τοὺς ἐφυβρίζοντας ἐν τοῖς ἄστεσιν ἐπὶ τὴν ἐρημίαν ἐπεξεληλυθὼς, καὶ τὰς βάσεις ἀπολωλεκὼς, οὐχ ἅσπερ ἡμεῖς οἰόμεθα λέγειν, ἀλλὰ τὴν παρρησίαν ἐφ' ἧς ὀρθοῦται ὁ ἑκάστου βίος. ταῦτα μὲν οὖν ὅπῃ τοῖς ποιηταῖς φίλον, ταύτῃ ὑπονοείσθω. τὸ δ' ἐμὸν δεύτερον ἤδη ἀκούεις, ὅτι οὐκ ἀλλάττομαι τὴν ἐκεῖ τῶν ἐνθάδε, ἀμείνω δοκῶν. ἀλλ' οὐδὲ τῷ Θεῷ συναρέσκει, ᾧ μέχρι νῦν συμβούλῳ τε καὶ ἐπιτρόπῳ ἐμαυτοῦ χρῶμαι.

Socrates Xenophonti. II.

SATIS ſcis, quibus ſtudiis in Chærephontem incumbimus. Vrbis decreto ad Peloponneſios legationem obiens fortè & ad vos

Σωκράτης Ξενοφῶντι. β'

ΧΑιρεφῶν ὃν τρόπον ὑφ' ἡμῶν σπουδάζεται, οὐκ ἀγνοεῖς. ᾑρημένος δὲ ὑπὸ τῆς πόλεως πρεσβευτὴς εἰς Πελοπόννησον, τάχ' ἂν καὶ πρὸς ὑμᾶς

ἀφίκοιτο. τὰ μὲν οὖν τῶν ξενίων εὔπορά ἐστι ἀνδρὶ φιλοσόφῳ. τὰ δὲ τῆς πορείας ἐπισφαλῆ, καὶ μάλιστα διὰ τὰς αὐτόθι νῦν ταραχὰς ὑπαρχούσας. ὧν ἐπιμεληθεὶς ἐκεῖνόν τε σώσεις ἄνδρα φίλον, καὶ ἡμῖν τὰ μάλιστα χαριῇ.

perueniet. Hoſpitalitatis munera, ac commoda viro philoſopho facilè parantur: itinera verò, & potiſſimùm ob tumultus, quibus ibidem miſcentur omnia, nimis periculoſa ſunt. His ſi prouideris, virum amicum incolumem reddes, nobiſque gratiſſimum feceris.

γʹ.

Ἀνήσων ὁ Ἀμφιπολίτης ἐν Ποτιδαίᾳ μοι συνεστάθη. οὗτος νῦν Ἀθήναζε ἔρχεται πρὸς τὸν δῆμον ἐκπεσὼν ὑπὸ τῶν οἴκοι. τὰ γὰρ ἐκεῖ κεκίνηται μὲν ἤδη, οὔπω δὲ ἐστὶ φανερά. οἶμαι μέντοι οὐ πολλοῦ αὐτὰ δηλώσεσθαι χρόνου. τούτῳ συλλαβόμενος αὐτόν τε ἄξιον ὄντα ποιήσεις εὖ, καὶ τὰς πόλεις ἀμφοτέρας ὠφελήσεις. τὴν μὲν τῶν Ἀμφιπολιτῶν, ἵνα μὴ ἀποστᾶσα ἀνήκεστόν τι κινδυνεύσῃ παθεῖν. τὴν δὲ ἡμετέραν, ὅπως μὴ καὶ περὶ ἐκείνης πράγματα ἔχοι, ὡς νῦν καὶ περὶ Ποτιδαίας μικροῦ δέομεν ἀπειρηκέναι.

III.

ANESO Amphipolites, Potidææ mihi commendatus, nunc Athenas venit, per populum ex familia ſua excifus. Res enim ibi turbatæ adhuc in obſcuro latent: puto nihilominùs poſt tempus non multum in apertum venturas. Illi ſi opem tuleris, in haud indignum conferes, & ambabus vrbibus vtilitatem præbebis; Amphipolitanæ, ne rebellans in diſcrimen lethale veniat; noſtræ, ne pro ea moleſtiam ſuſcipiat, veluti nunc pro Potidæa conflictatur, adeò vt tantum non deſponderit animum.

δʹ.

Κριτοβούλῳ μὲν ἐντυχὼν παρεκάλουν πρὸς φιλοσοφίαν αὐτήν, ὁ δέ μοι δοκεῖ

IV.

CRITOBVLVM mihi obuium ad Philoſophiam ipſam monui, & hortatus ſum, ille videtur à meis con-

filiis diſcrepare, & ad res ciuiles potiùs anhelare. Doctrinam itaque rebus illis peropportunam ipſe ſeliget, & ductorem ad illam, omnium qui optimus ſit, ſibi comparabit. Nunc enim delectiſſimi quique Athenas conueniunt, & peregrinantur: quorum plerique nobis neceſſitudine, ac beneuolentia coniunguntur: Et hæc de Critobulo. De me, rebúſque meis quid? Xanthippe, & pueruli valent. Ipſe quemadmodum, cùm præſens eſſes, ago.

Xenophonti. v.

TE Thebas perueniſſe, nobis nunciatum eſt. Proxenum in Aſiam ad Cyrum iter direxiſſe. Igitur ſi rerum fortunatarum cupido te tenet, Deus ſcit, cùm iam apud nonnullos ex noſtris hæc facta varias reprehenſiones incurrant: indignum quippe iudicatur, ad opem, auxiliúmque Cyri Athenienſes concurrere, cuius cauſa ipſi à Lacedæmoniis imperio ſpoliati ſunt, ipſóſque pro eo per quem debellati ſunt, bellum ſuſcipere. Non igitur mirum erit, ſi rerum ſtatu immutato, quidam te gratis

διανενοῆσθαι, μᾶλλον δὲ ὡρμῆσθαι πρὸς τὰ πολιτικά. αἱρήσεται οὖν τὴν πρὸς ἐκεῖνα ἁρμόττουσαν παιδείαν, καὶ τὸν ὑφηγησόμενον ἐκλέξεται τῶν ὄντων τὸν κράτιστον. σχεδὸν δὲ νῦν ἐπιδημοῦσιν οἱ δοκιμώτατοι Ἀθήνησι. καὶ πολλοὶ αὐτῶν καὶ πρὸς ἡμᾶς ἔχουσιν οἰκείως· τὰ μὲν οὖν ἐκείνου ταῦτα· τὰ δ' ἐμά, Ξανθίππη μὲν, καὶ τὰ παιδάρια ἔρρωται· αὐτὸς δὲ ὥσπερ καὶ παρόντος σου πράττω.

Ξενοφῶντι. έ.

ΣΕ μὲν ἐν Θήβαις ἡμῖν γενέσθαι ἀπηγγέλλετο. Πρόξενον δὲ καταλαβεῖν εἰς τὴν Ἀσίαν ὡς Κῦρον ὡρμηκότα. εἰ μὲν οὖν εὐτυχῶν ἐφίεσαι πραγμάτων, Θεὸς οἶδεν, ὡς ἤδη γέ τινες τῶν ἐνταῦθα καταμέμφεσθαι αὐτὰ ἐπιχειροῦσιν. οὐ γὰρ ἄξιον φανῆναι Κύρῳ βοηθεῖν Ἀθηναίους, δι' ὃν τὴν ἀρχὴν ὑπὸ Λακεδαιμονίων ἀφῃρέθησαν, οὐδ' αὖθις ὑπὲρ ἐκείνου πολεμεῖν, καταπολεμηθέντας δι' ἐκεῖνον. οὐκ ἂν οὖν θαυμάσαιμι, εἰ μεταπεσούσης τῆς πολιτείας, συκοφαντεῖν σέ τι-

νες ἀφ᾽ ἑαυτῶν ἐπιχειρήσουσιν, ἀλλ᾽ ὅσῳ λαμπρότερον τἀκεῖ χωρήσειν ὑπολαμβάνω, τοσούτῳ σφοδρότερον ἐπιχειρεῖσθαι τούτοις ἡγοῦμαι. τὰς γὰρ ἐνίων φύσεις οὐκ ἀγνοῶ. ἡμεῖς δ᾽ ἐπειδὰν ἅπαξ εἰς τοῦτο ἑαυτοὺς ἔδομεν, ἄνδρες ἀγαθοὶ γινώμεθα, τῶν τε ἄλλων, ἃ περὶ ἀρετῆς εἰώθειμεν λέγειν, ἀναμιμνησκόμενοι, καὶ τὸ μηδὲ γένος πατέρων αἰσχυνέμεν, ἐν τοῖς ἄριστα τῷ ποιητῇ εἰρῆσθαι τιθέντες. ἴσθι δὲ ὡς δυοῖν τούτοιν μάλιστα προσδεῖται πόλεμος, καρτερείας τε καὶ ἀφιλοχρηματίας, δι᾽ ἐκείνην μὲν γὰρ τοῖς οἰκείοις φίλοι, διὰ καρτερείαν δὲ φοβεροὶ τοῖς ἀντιπάλοις γινόμεθα. ὧν ἀμφοτέρων οἰκεῖα ἔχεις παραδείγματα.

ϛʹ.

Τοῖν μὲν ξένοιν ἐπεμελήθην ὡς παρεκάλεις, καὶ τὸν ἐν τῷ δήμῳ συναγορεύσοντα αὐτοῖν ἐσκεψάμην, τὸν ἡμετέρων τινὰ ἑταίρων. ὃς ὑπηρετήσειν ἔφη προθυμότερον διὰ τὸ

calumniari non deſinunt. Verùm quò ſplendidiores, illuſtrioréſque res tibi ſuccedent, eò, nec fallor, iniquiùs, contumelioſiúſque lædent. Nonnullorum enim ingenia ſat nota habeo. Nos verò, qui prouinciam hanc ſuſcepimus, munus noſtrum, vt viros probos decet, & quæ præſertim de virtute diſſerere multa illa quidem conſueueramus memoria recolentes, necnon id rectiſſimè à Poëta decantatum, paternum ſcilicet genus infamandum non eſſe, pro certo credentes, fungamur. Sed ſcias velim, duo hæc potiſſima inter alia militiæ opus eſſe, tolerantiam, & pecuniarum contemptum; hoc namque familiaribus cari, illa hoſtibus terribiles ſumus. Vtrorumque exempla tibi propria, non externa in promptu ſunt.

VI.

QVÆ mihi de amicis commendaueras, ſumma cura, ac diligentia peracta ſunt; & ex amicis noſtris vnum, qui apud populum eorum cauſam defenderet, non fortuitò conquiſiui. Ipſe rem ardētiùs excepturum ſe,

quod & tibi gratum facere vellet, promiſerat. De quæſtu & lucro, & de his quæ iocosè ludens ſcripſeras, multos eſſe ſollicitos abſurdum fortè, atque ineptum non eſt. Primùm quidem ſi dum alij ad opes, & diuitias anhelant, ipſe inopem, ac pauperem vitam volens duco: Deinde, cùm multa à multis, quæ mihi, dum in hac vita ſunt, largiuntur, & morti proximi profuſiſſimè legant, accipiendi in poteſtate ſit, libens renuncio. Virum autem ita affectum mente captum eſſe iudicari ab aliis nil mirum. Verùm non hoc ſolùm, ſed & reliquum vitæ noſtræ inſtitutum examinandum eſt: & dum circa corporis cultum ab aliis differimus, ſi & de lucro etiam diſcordamus, permirum videri non debet. Mihi itaque cibus, iſque frugaliſſimus abundat, eodem veſtitu æſtiuis, hyberniſque temporibus amicior: calceis nequaquam vtor, gloriam, quæ rebus publicis agendis comparatur, abhorreo, illa quæ ex temperantia, & iuſtitia eſt, incendor. Qui verò lautiſſimè viuendo nihil ſibi temperant, varióque indumentorum genere, non

καί σοι χαρίζεσθαι ἔθελεν. περὶ δὲ τοῦ χρηματισμοῦ, καὶ περὶ ὧν προσπαίζων ἐγέγραφες, τὸ μὲν ἐπιζητεῖν ἐνίους οὐδὲν ἴσως ἄτοπον. εἰ πρῶτον μὲν ἐσπουδακότων τῶν ἄλλων περὶ πλοῦτον, ἐγὼ πένης αἱροῦμαι βιοῦν· ἔπειτα ἐξόν μοι παρὰ πολλῶν πολλὰ λαμβάνειν, οὐ τὰς παρὰ ζώντων μόνον δωρεὰς τῶν φίλων, ἀλλὰ καὶ ὅσα ἂν τελευτῶντές μοι ἀφῶσιν, ἑκὼν παραιτοῦμαι. τὸν δὴ οὕτω διακείμενον οὐδὲν θαυμαστὸν μαινόμενον παρὰ τοῖς ἄλλοις νομίζεσθαι. χρὴ δὲ μὴ τοῦτο μόνον, ἀλλὰ καὶ τὸν ἄλλον ἡμῶν προσεπιθεωρεῖν βίον· καὶ εἰ περὶ τὴν χρῆσιν τῶν σωμάτων διαφέροντες φαινοίμεθα, μὴ θαυμάζειν ὅτι καὶ περὶ τὸν πορισμὸν διεστήκαμεν. ἐμοὶ μὲν τοίνυν ἀπαρκεῖ τροφῇ τε χρῆσθαι τῇ λιτοτάτῃ, καὶ ἐσθῆτι θέρους τε καὶ χειμῶνος τῇ αὐτῇ· ὑποδήμασι δὲ πάμπαν οὐ χρῶμαι, οὐδὲ πολιτικῆς ἐφίεμαι δόξης, πλὴν ὅσον ἐκ τοῦ σώφρων εἶναι καὶ δίκαιος. ὅσοι δὲ πολυτελείας μὲν τῆς περὶ τὴν δίαιταν οὐδὲν ἀπολείπουσιν, ἐσθῆτας δὲ διαφόρους οὐχ

ὅτι γε ἔτους τοῦ αὐτοῦ, ἀλλὰ καὶ ἡμέρας τῆς αὐτῆς ἀμφιέννυσθαι ζητοῦσι, πολλὰ δὲ χαρίζονται καὶ ταῖς ἀπορρήτοις ἡδοναῖς· καὶ ὃν τρόπον οἱ τὴν κατὰ φύσιν χρόαν διεφθορότες ἐπακτοῖς χρώμασι κοσμοῦνται· κἀκεῖνοι τὴν ἐξ ἀρετῆς ἀληθινὴν δόξαν ἀπολωλεκότες, ἣν εἰκὸς περιγίνεσθαι ἑκάστῳ, καὶ εἰς τὴν ἐκ τῆς ἀρεσκίας καταφεύγουσι, διανομαῖς καὶ ἑστιάσεσι πανδήμοις τὴν παρὰ τῶν πληθῶν εὐφημίαν προσκαλούμενοι. ὅθεν εἰκότως οἶμαι πολλῶν αὐτοῖς δεῖσθαι συμβαίνειν. οὔτε γὰρ αὐτοὶ ζῆν δύνανται ἀπ' ὀλίγων, οἵ τε πλησίον ἀποδέχεσθαι αὐτοὺς οὐκ ἐθέλουσι, μὴ μισθὸν τῆς εὐλογίας φερόμενοι. ἐμοὶ μὲν πρὸς ἄμφω ταῦτα καλῶς ἔχει ὁ βίος. καὶ εἰ μέν τί με τῶν ἀληθῶν ἐκφεύγει, οὐκ ἂν ἰσχυρισαίμην. ὅτι μέντοι ταῦτα μὲν οἱ κρείττους φασὶν εἶναι βελτίω, ἐκεῖνα δὲ οἱ πολλοί, σαφῶς οἶδα. πολλάκις δὲ καὶ περὶ τοῦ Θεοῦ καθ' ἐμαυτὸν ἐννοούμενος, καθ' ὅ τι εὐδαίμων εἴη καὶ μακάριος, ὁρῶ τῷ μηδενὸς δεῖσθαι αὐτὸν ὑπερβάλλοντα ἡμᾶς. φύσεως γὰρ λαμπροτάτης ἐκεῖνο ἦν, οὐ

intra eumdem annum, ſed eumdem quoque diem ornari geſtiunt, infandiſque voluptatibus, ſuóque genio multa indulgent: qua ratione qui naturalem colorem amiſerunt, accitis ſeſe exornant: ſic illi vera ex virtute gloria, quæ vnumquemque addecet, deperdita, ad ea, quæ ex indulgentia aliorum pendent, confugiunt, diſtributionibúſque, ac publicis conuiuiis plauſum forenſem captant. Hinc multa illis opus eſſe, non incongruè conijcior. Nam neque ipſi, vt viuant, paucis contenti ſunt, neque qui illis abblandiuntur, eos admittere volunt, ni priùs plauſus, clamoriſque perhonorifici mercedem accipiant. Mihi verò viuendi ratio ad ambo hæc optimè ſe habet. & me verum aliquid non fugere non vltrà contendam. At iſta à viris melioribus vti potiora probari, illa à pluribus ſat noui. Sæpenumerò etiam de Deo in memetipſo ediſſerens, quanam ille ratione felix, ac beatus eſſet, non aliam habui, niſi quòd nullius indigus nos præcellat. Naturæ ſiquidem ſplendidiſſimæ proprium id erat, non

cùm multis indigeret, vnde illa accipere poſſet, in promptu habere. ſic item par eſt eum cæteros ſapientia antecellere, & ſapientiſſimo, ac beatiſſimo ſimilem eſſe, qui ad beatum illum quamproximè accedit. Hoc ſi diuitiæ parere poſſent, diuitiæ vtiqúe appetendæ eſſent. ſed cùm id virtus tantùm videatur apportare, rude, ineptúmque eſt, vero bono renunciato, commentitium aucupari. Res meas igitur non eſſe meliùs conſtitutas hoc modo non facilè ſuadebor. De filiis item, & quòd, vt dixeras, me oportet eorum prouidum eſſe, quæ animo impreſſa ſunt meo, atque menti cunctis hominibus edico. Vnum beatè viuendi principium ego exiſtimo, benè ſapere. Atqui mentis inops, auro, argentóque res ſuas credit, primùm quidem bonum, quod ſibi videtur poſſidere, non habet. Deinceps tantò aliis miſerior eſt, quantò qui pauperie premitur, licèt nunc deſipiat, aliquando pòſt in mentem reuocabitur: ille falſa opinione deceptus, ac ſe beatum ducens, vera vtilitate neglecta, & in aliis etiam re-

ὃ πολλῶν δεόμενον ἑτοίμως ἔχειν ἀπολαύειν. καίτοι σοφώτερόν τε εἶναι εἰκὸς, ὅστις ἑαυτὸν ἀπεικάζει τῷ σοφωτάτῳ, καὶ μακαριωτάτῳ ὑπάρχειν, ὃς ἂν ὅτι μάλιστα ἐξομοιωθῇ τῷ μακαρίῳ. τοῦτο δὲ εἰ μὲν πλοῦτος ποιεῖν ἐδύνατο, πλοῦτόν γ' ἂν ἐχρῆν αἱρεῖσθαι. ἐπεὶ δὲ ἀρετὴ μόνη φαίνεται παρασκευάζειν, εὔηθες ἀφέντας τὸ ὂν ἀγαθὸν, τὸ δοκοῦν μεταδιώκειν. ὡς μὲν οὖν τἀμὰ οὐχ οὕτως βέλτιον ἔχει, οὐκ ἄν με τις ῥᾳδίως μεταπείσῃ. περὶ δὲ τῶν παίδων, ὃ ὅπερ ἔφησθα δεῖν προνοεῖσθαι ἢ διανοοῦμαι περὶ αὐτῶν, μαθεῖν ἔξεστι πᾶσιν ἀνθρώποις. μίαν ἀρχὴν εὐδαιμονίας ἐγὼ νομίζω, φρονεῖν εὖ· τὸν δὲ νοῦ μὲν μὴ μετειληφότα, χρυσῷ δὲ πιστεύοντα, καὶ ἀργυρίῳ, πρῶτον μὲν ὅπερ οἴεται κεκτῆσθαι ἀγαθὸν, οὐκ ἔχειν. ἔπειτα τοσοῦτον ὑπάρχειν ἀθλιώτερον τῶν ἄλλων, ὅσον ὁ μὲν ἀναγκασθεὶς ὑπὸ πενίας, εἰ καὶ μὴ νῦν, αὖθις ποτὲ φρονήσει· ὁ δὲ τῷ μὲν ὑπὸ οἰήσεως τῷ εἶναι μακάριος τῆς ἀληθινῆς ὠφελείας ἀμελῶν, τὰ δὲ

ὑπὸ χορηγίας διαφθειρόμενος, πρὸς οἷς ἠτύχει ἤδη καὶ τῶν ὄντως ἀνθρωπίνων ἀγαθῶν προσαπεστέρηται, τὴν ὑπὲρ τῶν μελλόντων χρηστὴν ἐλπίδα. οὐδὲ γὰρ συνθῆναι οἷόν τέ ἐστι τοὺς τοιούτους πρὸς ἀρετὴν, κατεχομένους μὲν ὑπὸ κολακείας ἀνθρώπων ὁμιλῆσαι δεινῶν· κατεχομένους δὲ ὑπὸ γοητείας ἡδονῶν, αἳ κατὰ πᾶν αἰσθητήριον προσβάλλουσαι τῇ ψυχῇ πᾶν εἴ τι καλὸν, ἢ σωφρονικὸν ἐν αὐτῇ κρίμα ἐξαφανίζουσι. τίς οὖν ἀνάγκη παισὶν αἰτίαν καταλιπεῖν ἀφροσύνης μᾶλλον ἢ παιδεύσεως, καὶ οὐ λόγοις μόνον, ἀλλὰ καὶ ἔργοις δηλώσαντες, ὅτι ἐν σφίσιν αὐτοῖς τὰς ἐπ᾽ αὐτῶν ἔχουσιν ἐλπίδας, καὶ μὴ γινομένοις ἀγαθοῖς οὐδὲ ζῆν καταλείπεται, ἀλλὰ λιμῷ φθαρέντες οἰκτρῶς τελευτήσουσι πρέπουσαν ἀργίᾳ δίκην ἐκτίοντες. καί τοιγε ὁ νόμος μέχρι ἥβης κελεύει παῖδα ἐκτρέφεσθαι ὑπὸ γονέων. ὑμεῖς δ᾽ ἴσως εἴποι τις ἂν ἀνὴρ πολιτικὸς ἀγανακτῶν πρὸς τοὺς ἑαυτοῦ υἱοὺς κληρονομεῖν ἐπιθυμοῦντας, οὐδὲ τελευτῶντος ἀφέξεσθαί μου δια-

rum vberi copia corruptus, præ miſeria illa, in qua ad illud vſque tempus verſabatur, veris, humaniſque bonis priuatus, ſpem etiam de illis in poſterum recuperandis amittit. Nec enim fieri poteſt, vt hi hominum in familiaribus colloquiis aſtutiſſimorum, callidiſſimorúmque adulatione mancipati, & voluptatum illecebris, quæ per omnes ſenſus in animum illabuntur, indéque quicquid bonum, ac prudens eſt, iudicium exterminant, irretiti, ad virtutem incolumes deferantur. Quæ ergo neceſſitas eſt, filiis ſtultitiæ magis, quàm doctrinæ occaſiones relinquendi, ſi ipſi non verbis tantùm, ſed operibus etiam ſuas in rebus illis ſpes collocaſſe demonſtrabunt, qui ſi praui fuerint, & viuendi cauſam perdent, & fame pereuntes miſerè vitam finient, condignis inertiæ pœnis perſolutis. Ad hæc legibus ſancitum eſt, filium à parentibus ad pubertatem ali. Vos autem, dicet fortaſſe neſcio quis ciuilis homo filiis ſuis, qui hæreditati inhiant fronte contracta, indignantéque, neque à demortuo manus abſtinere cogitatis,

tis, ſed alimenta viui à defuncto depoſcetis; nec vitam morte ipſa ſegniorem, ac inutiliorem traducentes veremini? Vos res meas etiam poſt mortem aliis ſupereſſe vultis, veſtræ ne vobis quidem ad vitam ſuſtinendam ſufficient. ſic ille ruſticè fortaſſe hæc proferet ad filios audaci dicendi libertate, parenti, ac viro ciuili peropportuna, vſus. Res porrò meæ ſermonibus moderatiores ſunt, & opere opulentibus ſimiles videntur. Quare ego filiis meis aurum neutiquam relinquam, ſed auro amplius, ac pretioſius patrimonium, amicos moderatos, quos ſi coluerint, nullis rebus neceſſariis deſtituentur: quòd ſi erga amicos malè ſe geſſerint, vel hinc manifeſtum eſt eos multò peiùs pecuniam ad commodum ſuum conuerſuros. Verùmenimverò, ſi tibi nonnullorum deſpicientiam animaduertenti, conſilia iſthæc mea inconſulta viſa fuerint, priùs illud enunciabo, non omnes homines erga amicos æquè affectos eſſe. Sunt enim, qui eorum etiam poſtquam de vita deceſſerint, curam habent. Secun-

νοσεῖτε, ἀλλὰ καὶ τεθνεῶτα τροφὰς οἱ ζῶντες αἰτήσετε, καὶ οὐκ αἰσχύνεσθε θανάτου ζωὴν ἀπρακτοτέραν βιοῦντες; ἀλλὰ τὰ μὲν ἐμὰ περιεῖναι καὶ μετὰ θάνατον ἀξιοῦτε ἑτέροις, τὰ δὴ ὑμέτερα ὑμῖν οὐδ᾽ εἰς τὸ ζῆν ἐξαρκέσει. ἐκεῖνος μὲν οὕτω σκαιῶς ἴσως πρὸς τοὺς ἑαυτοῦ παῖδας χρήσεται τοῖς λόγοις, πατρικὴν ἅμα πολιτικὴν παρρησίαν ἄγων· τὰ δὴ ἐμὰ λόγων μὲν εἵνεκα ἐπιεικέστερα ὄντα τυγχάνει, ἔργῳ δὲ οὐ πόρρω φαίνεται πλουτούντων ἀποστατεῖν. ὅθεν ἐγὼ χρυσίον μὲν οὐκ ἀπολείψω τοῖς ἐμαυτοῦ παισί, τοῦ δὲ χρυσοῦ κτῆμα τιμιώτερον, φίλους ἐπιεικεῖς· οὓς φυλάττοντες μὲν, οὐδενὸς ἐλλειφθήσονται τῶν ἀναγκαίων. κακῶς δὲ τὰ περὶ τοὺς φίλους μεταχειρίσαντες, εὔδηλον ὡς τά γε χρήματα πολὺ κάκιον διοικήσουσιν. εἰ δέ σοι τὰς ἐνίων ὀλιγωρίας ὁρῶντι φαύλως δόξω βεβουλεῦσθαι, πρότερον μὲν ἐκεῖνο ἐρῶ, ὅτι οὐ πάντες ἄνθρωποι ὁμοίως ἔχουσι πρὸς τοὺς φίλους. εἰσὶ δὲ οἳ καὶ τετελευτηκότων αὐτῶν προνοοῦσιν. ἐπειδὴ

ὅτι τοὺς ἡμετέρους τούτων εἰκὸς εἶναι, οὐ φορτικῶς ἡμῖν συνεληλυθότας, οὐδὲ νῦν μόνον, ἀλλὰ καὶ πότε τὸν πρὸ ἡμῶν οὐχ ἧττον ὠφελείας ἀπολαύοντας. τῆς μὲν οὖν ὀλιγοχρονίου χάριτος εἰκὸς καὶ τὰς ἀμοιβὰς εἶναι βραχείας. αἱ πολυχρόνιοι δὲ τῶν εὐεργεσιῶν ἴσην τῇ ὠφελείᾳ τίκτουσι τὴν ἀμοιβήν. τὰ δὴ ἐμὰ μαντεύομαι προκόπτουσι τοῖς ἑταίροις καλλίω φανεῖσθαι. διόπερ οὐδὲ μισθοὺς αὐτοὺς εἰσπράττομαι, ὅτι οὐδὲν ἔχω πρέπον ἀντάλλαγμα φιλοσοφίας ἄλλο πλὴν φιλίαν. ἔτι ὅτι οὐχ ὥσπερ οἱ σοφισταὶ κἀγὼ δέδοικα περὶ τῶν ἰδίων. παλαιούμενα γὰρ νέα γίνεται, καὶ πρὸς γῆρας μᾶλλον ἀναθεωρεῖσθαι φιλεῖ. ὅθεν αὐτά τε μάλιστα ὑπὸ τῶν μαθόντων στέργεται τότε, καὶ ὁ γεννήσας αὐτὰ πατὴρ ἐπιποθεῖται. περὶ ὧν μὲν οὖν τιμῆς τυγχάνει, τελευτήσας δὲ μνήμης ἀξιοῦται. κἂν τῶν οἰκείων τινὰ ἀπολελοιπὼς ᾖ, τοῦ δὲ ὡς υἱεῖς, ἢ ἀδελφοὶ κήδονται), πᾶσαν εὔνοιαν εἰς αὐτὸν ἐνδεικνύμενοι, τρόπον τινὰ ἑτέρου συγγενείας τῆς κατὰ φύσιν συνηρτη-

dò noſtros amicos ex iſtorum numero eſſe, qui noſtra minimè moleſtè conſuetudine vſi ſunt, & qui præterita vtilitate non minùs hiſce temporibus à nobis afficiuntur. Breuis itaque beneficij, breuia item eſſe præmia decet. At diuturna æquale vtilitati beneficium benefacientibus præparant. Res autem meæ, vt animus præſagit, tempore ipſo amicis videbuntur illuſtriores. Quare nec mercedem illis conſtituo, nec exigo. Nullum enim præter amicitiam Philoſophiæ par pretium facio. Neque veluti cæteri Sophiſtæ de propriis malè timeo, quæ vetuſtate ipſa vireſcunt, & ſenecta grauia repullulare amant. Quare ipſa tunc potiſſimùm à diſcipulis amplectuntur, & fœcundus parens eorum concupiſcitur. Viuens itaque ſolidam, & veram laudem habet, & vita defunctus poſteritatis memoria viuit. Et ſi quemquam ex neceſſariis reliquerit, veluti filij, vel fratres omnibus illum beneuolentiæ officiis complectentes, & alio quopiam neceſſitudinis modo, non quem natura ſequimur, illi adhæren-

tes, curam gerunt. Non ergo poſſunt, etiamſi vellent, in mala coniectum negligere, ſicuti & eos, qui genere nobis coniunguntur, paruipendere nequimus. Cognatum enim in animo quaſi ex eodem patre ortum ad demortui filio opem ferendam compellit, dum patris memoriam refricat, & illius deſpectum propriam infamiam ducit. Perpende itaque, ſi tibi poſthac vel res meas miſerè tractare, vel filios negligere, vt me defuncto omnibus neceſſariis affluant, videor, qui non pecunias ipſis, ſed eos, qui & pecuniarum, & eorum curam gerent, relinquo. Præterea ad hunc diem à pecuniis neminem ſaniorem factum hiſtoriæ produnt. At probatus amicus, etiam probato auro, magis eligendus eſt, quòd non omnibus appetentibus, ſed probioribus amicis, nec vitæ vſus tantùm neceſſarios ſubminiſtrat, ſed & poſſeſſoris ipſius animum curat: & virtutis nomine, ſine qua nihil in humanis vtilitatem affert, plurimùm condu-

μένοι αὐτῶν. οὐκοῦν δύνανται, οὐδ' εἰ βούλοιντο, κακῶς περιέποντα αὐτὸν παρεξιέναι, ὥσπερ οὐδὲ τοὺς κατὰ γένος προσήκοντας ὑπερορᾶν οἷοί τε ἐσμέν. τὸ γὰρ ἐν τῇ ψυχῇ συγγενές, ἅτε ἐκ τοῦ αὐτοῦ πατρὸς ἀδελφὸν γεγενημένον, ἀναγκάζει σφᾶς βοηθεῖν τῷ τοῦ τετελευτηκότος υἱεῖ, ὑπομιμνήσκον τοῦ πατρός, καὶ τὴν ἐκείνου ὀλιγωρίαν σφετέραν ἀτιμίαν τιθέμενον. ὅρα οὖν, εἴ σοι δόξω ἔτι, ἢ τὰ ἐμαυτοῦ κακῶς οἰκονομεῖν, ἢ τῶν παιδίων ὅπως μηδὲν ὑστερήσωσι τῶν ἀναγκαίων ἐμοῦ τελευτήσαντος ὀλιγωρεῖν, ὃς οὐδὲ χρήματα αὐτοῖς, ἀλλὰ καὶ τοὺς τῶν χρημάτων, καὶ αὐτῶν ἐκείνων ἐπιμελησομένους καταστησόμενος καταλείπω. καίτοι ὑπὸ μὲν ἀργυρίου οὐδεὶς βελτίων εἰς τὴν ἡμέραν ταύτην ἱστορεῖται γενόμενος. ὁ δὲ δόκιμος φίλος καὶ ταύτῃ αἱρετώτερος τυγχάνει τοῦ δοκίμου χρυσίου, ὅτι οὐ πᾶσι τοῖς ὀρεγομένοις, ἀλλὰ τοῖς βελτίοσι τῶν φίλων ὑπηρετεῖ· οὐδὲ τὰς τοῦ βίου χρείας μόνον, ἀλλὰ καὶ τὴν αὐτοῦ τοῦ κεκτημένου ψυχὴν θεραπεύει· καὶ εἰς ἀρετῆς λόγον, ἧς χωρὶς οὐδὲν τῶν ἀνθρωπίνων ὄνησιν, πλεῖστα

συμβάλλεται. τὸ μὲν οὖν ἀκριβὲς τούτων πέρι, καὶ κατ᾽ ὄψιν ἐντυχόντες ἀλλήλοις ἐπισκεψόμεθα. πρὸς ἃ δὲ ἐπέστειλας νῦν, ἀρκεῖ καὶ διὰ τῶν εἰρημένων ἀποκεκρίσθαι μετρίως.

ζ.

ΣΕ μὲν οὐ θαυμαστὸν ἐπιστέλλειν ὑπὲρ ὧν γράφεις. τὴν γὰρ αὐτὴν ὑπολαμβάνεις γνώμην, ἣν παρόντος σου πρὸς ἡμᾶς εἶχον, καὶ νῦν ἀπόντος σου φυλάττειν ἐπὶ τοὺς τριάκοντα. ἐμοὶ δὲ συνέβη μετὰ τὴν σὴν ἀποχώρησιν εὐθέως ὑποπτευθῆναι, καί τις λόγος ἐν αὐτοῖς διῆλθεν, ὡς οὐ χωρὶς Σωκράτους ταῦτ᾽ εἴη πεπραγμένα. ἡμέραις δ᾽ οὐ πολλαῖς ὕστερον ἀνακαλεσάμενοί με εἰς τὴν θόλον ἦγον, καὶ περὶ τούτων ἐμέμφοντο. καὶ ἐμοῦ δ᾽ ἀπολογουμένου, ἰέναι με ἐκέλευον εἰς Πειραιᾶ, καὶ Λέοντα συλλαμβάνειν. ἦν δὲ γνώμη αὐτῶν, ἐκεῖνον μὲν ἀποκτεῖναι, καὶ τὰ χρήματα αὐτοὺς ἔχειν, ἐμὲ δὲ κοινωνὸν ποιεῖσθαι τοῦ ἀδικήματος. παραιτουμένου δέ μου, καί τι τοιοῦτον εἰπόντος, ὡς οὐκ ἂν ἑκὼν ποτε ἔργῳ ἐπι-

cit. Sed horum accuratam conſiderationem, cùm vnà erimus, expendemus. Ad quæ verò ſcripſeras, ſatis ſit per hæc moderatè reſpondiſſe.

VII.

NIL mirum te de ſimilibus litteras dare. eiuſdem ſiquidem ſententiæ erga nos eſſe, cuius cùm adeſſes, erant, & nunc in ea, poſtquam diſceſſeris, perſtare triginta nec immeritò ſuſpicaris. Ego verò ſtatim atque te ciuitate mouiſti, in ſuſpicionem veni, & neſcio quis rumor inter illos increbuit, nuſquam ſcilicet illa ſine Socratis conſilio patrata fuiſſe. Quare non multos poſt dies aduocatum me duxêre ad tholum, & multa pro iis querebantur. Vbi me excuſaſſem, vt in Piræeum venirem, Leonémque comprehenderem, mandabant. Induxerant autem animum, vt eo iugulato, ipſi pecunias corraderent, me verò nefario, iniuſtóque parricidio, veluti ſceleris comitem, obſtringerent. Cùm recuſarem, & tale quid in eos proferrem, nunquam me volentem operi iniuſto ſubſcri-

pturum, præſens Charicles animo perturbato, & præ ægritudine afflicto. Anne, Socrates, ait, ita malis ſuperiorem te exiſtimas, vt quandoque etiam non poſſis ſuccumbere: ita petulans in hos ſermones prorumpis? At ego infinitis, inquam, malis per Iouem, ô Charicles, obnoxius ſum, at nullum erit tam atrox, atque infortunatum, quàm ſi iniuſtus fuero. Obmutuere poſthac omnes, nec ſimiliter ex eo tempore erga me animis affecti eſſe videntur. Res autem veſtræ, vt præſentes nunciabant, vſque dum ex ſententia procedunt. Aſſerebant quippe Thebanos vos profugas ad illos excepiſſe humaniſſimè, vobíſque, vt domum redeatis, opem ferre, & velle, & poſſe. Hiſce allatis nonnulli ex ciuibus miſerè conturbari, eóque potiſſimùm, quòd multò incertiora Lacedæmoniorum auxilia futura dicebantur. Nam qui cum legatis eò redierant, affirmabant, Lacedæmonios magnis, inopinatíſque bellorum tumultibus fatigari, Ephoróſque poſt internuncium de turbis ciuitatis acceptum, ægrè ferre,

γραφείων ἀδίκων, παρὼν ὁ Χαρικλῆς, καὶ ἰδίᾳ ἀγανακτήσας. ἦπου οὐδὲν, ὦ Σώκρατες, ἔφη, ἡγῇ κακὸν δύνασθαι παθεῖν, οὕτως αὐθαδῶς διαλεγόμενος; κἀγὼ, μυρία μὲν οὖν νὴ Δία, εἶπον, ὦ Χαρίκλεις, οὐ μήν τοι τοσοῦτό γε οὐδὲν ὁπηλίκον εἰ ἀδικήσω. ἀπεκρίνατο μὲν οὖν οὐδὲν οὐκέτι οὐδὲ εἷς αὐτῶν· δοκοῦσι δέ μοι οὐχ ὁμοίως ἐξ ἐκείνου τοῦ χρόνου διακεῖσθαι. περὶ δὲ ὑμῶν οἱ παρόντες διήγγελον, καθ' γνώμην ἄχρι νῦν χωρεῖν τὰ πράγματα. ἔλεγον γὰρ ὅτι οἱ Θηβαῖοι καταφυγόντας ὑμᾶς ἀσμένως ἀπεδέξαντο, καὶ κατιοῦσι πάσῃ προθυμίᾳ συλλαμβάνειν οἷοί τέ εἰσιν. ἐταράττοντο δὲ καὶ τῶν ἐνταῦθά τινες τοῖς λόγοις τούτοις, καὶ ὅτι καὶ τὰ ἐκ τῆς Λακεδαίμονος δυσελπιστότερα ἠγγέλλετο. ἔλεγον γὰρ οἱ μετὰ τῶν πρέσβεων ἐκεῖθεν ἥκοντες, πολέμους τε καταλαβεῖν τοὺς Λακεδαιμονίους συνεστηκότας μεγάλους, καὶ τοὺς Ἐφόρους περὶ τῆς ἐνταῦθα ταραχῆς ἀκούοντας ἀγανακτεῖν,

οὐκ ἐπ' ὀλέθρῳ λέγοντας αὐτοῖς παραδεδωκέναι τὴν πόλιν τοὺς Λακεδαιμονίους. τοῦτο μὲν γὰρ ἐξεῖναι ἔφη εἰ καὶ κρατήσασι πεποιηκέναι ἐβούλοντο τῶν συμμάχων Κορινθίων, καὶ Θηβαίων τότε ἐναγόντων. ἀλλ' ὅπως αὐτοί τε πολιτεύσωνται ἐπιτηδείως ὀλιγαρχούμενοι, καὶ τὰ κοινὰ διοικοῦντες βέλτιον, ἢ ἐπὶ τῆς δημοκρατίας. εἰ οὖν οὗτοι ἀληθῆ ταῦτα ἐπαγγέλλουσι, καὶ τὰ ὑμέτερα οὕτως, ὥς φασιν, ἔχει, πολλὴ ἐλπὶς ὑμῶν μετὰ Θηβαίων ἀφιγμένων, ἐκείνοις δὲ μὴ βοηθησάντων Λακεδαιμονίων, ῥᾳδίως καταστήσασθαι τὰ ἐνθάδε. ὁμοίως δὲ καὶ τῶν ἐπιχωρίων πολλοί, οἱ νῦν μὲν διὰ τὸ δεδοικέναι ἄγουσιν ἡσυχίαν, εἰ δὲ τῶν ὑμετέρων τι ἀλλαχόθεν παραφαίνηται βέβαιον, ἀσμένως καταλείψουσι τὰ ἐνταῦθα. ὅλως γὰρ οὐδὲν ὑγιὲς τῆς πολιτείας αὐτοῖς καταλείπεται, ἀλλ' ὑπὸ πολλῶν, καὶ συνεχῶν ἀδικημάτων πάντα διέφθαρται. καὶ τὸ μὲν ἤδη παρὰ πολύ, ὡς τὸ καθ' ὑμᾶς μέρος ἀπέρρηκται· τὰ δὲ εἰ [...]ρας ἔξωθεν ἀφορμῆς ἐπι[...] ταὐτὸ πείσεται τῷ ὑμε-

tamquam qui non ad excidium vrbem, vt ipſi aſſerebant, illis commiſerint. Ipſi enim, ſi voluiſſent perdere, cùm Corinthij, Thebaníque ſocij inſtarent, vrgeréntque & imperium vrbis ad eos delatum eſſet, in eorum manu fuiſſe: ſed vt concinnè, aptéque ſub paucorum imperio res publicæ adminiſtrarentur, meliúſque quàm ſub plebis ductu temperarentur. Itaque ſi vera hæc ſunt, quæ referuntur, & res veſtræ ita ſe habent, vt tradunt, ſanè expectandum eſt, ſi vnà cum Thebanis acceſſeritis, neque illis in hac re Lacedæmonij adiutores affuerint, facili negotio omnia in meliorem ſtatum collocanda. Ad hæc ex ciuibus plurimi, qui nunc præ timore placidè conquieſcunt, ſi vel veſtigium rerum veſtrarum, quod certum ſit, conſpexerint, lubentes iſta deſerent. Nihil enim rerum publicarum ſanum, ac tutum reliquum eſt, ſed omnia crebris, continuiſque facinoribus incaſſum abiêre. Hinc potiſſima vrbis pars æquè atque vos ab illis ſciſſa eſt, altera, vel minima aliunde occaſione oblata, vobis ſimilia

ſubibit. Ita vt ſi nuſquam aliàs, nunc quoque manifeſtum ſit, rem omnium peſſimam vrbibus aduenire, Principum prauitatem. Hi ergo adeò commodo proprio, vt videntur, obcæcantur, vt cùm videant res publicas iam conſumptas, ipſi tamen nullum ſcelerum finem faciant, ſed quibus primùm perturbatæ ſunt, iiſdem regere, ac ſuſtinere putant, exiliis, proſcriptionibus bonorum, & cædibus contra ius, fáſque patratis. Nec animaduertunt prauum ægritudinum medicum eſſe, quidem cum morbo graſſante remedium vſurpat. Sed horum res deprauatiſſimæ ſunt. Tu rebus tuis incumbens optimè egeris. His enim, qui hîc degunt, vna ſpes reliqua eſt, ſi res ex ſententia proceſserit, ſe graui, atrocique imperio, ac duro dominatu liberandos.

τέρῳ. ὥστε εἴπερ ποτὲ ἄλλοτε καὶ νῦν γέγονε δῆλον, ὅτι πάντων μέγιστον κακὸν τῶν πόλεσίν ἐστιν ἡ τῶν ἀρχόντων πονηρία. οὗτοι γοῦν οὕτως ἐοίκασιν ἐξηπατῆσθαι περὶ τὸ συμφέρειν, ὥστε οὐδὲ διεφθαρμένα ὁρῶντες τὰ πράγματα, παύσασθαι ἐθέλειν. ἀλλ' οἷς ἐταράχθη πρότερον, τούτοις αὐτοῖς οἴονται καταστήσειν αὐτά, φυγὰς καὶ δημεύσεις οὐσιῶν καὶ θανάτοις ἀκρίτοις ποιούμενοι. καὶ οὐχ ὁρῶσιν ὅτι νοσημάτων πονηρὸς ἂν εἴη ἰατρὸς, ὁ τῇ αὐτῇ τῷ συνεστηκότι αἰτίᾳ ποιούμενος θεραπείαν. ἀλλὰ τὰ μὲν τούτων ἀτιάτως ἔχει. σὺ δὲ τῶν σαυτοῦ ἐπιμελούμενος, ὀρθῶς ποιήσεις. μία γὰρ καὶ τοῖς ἐνθάδε ἐλπίς ἐστιν, ἂν ὑμεῖς πράξητε κατὰ νοῦν, βαρείας πάνυ καὶ χαλεπῆς ἀπηλλάχθαι δεσποτείας.

Antiſthenes Ariſtipppo. VIII.

Ἀντισθένης, Ἀριστίππῳ. η'.

NON eſt Philoſophi munus, apud tyrannos vitam traducere, & Siculis conſidendo menſis tempus conterere: ſed illud paucis contentum in patria eſſe. At tu ſtudioſi excellentiam illam

ΟΥκ ἔστι τοῦτο φιλοσόφου, τὸ παρὰ τυράννοις αἰδρᾶσι, καὶ Σικελιωτικαῖς προσανέχειν τραπέζαις, ἀλλὰ μᾶλλον τὸ ἐν τῇ ἰδίᾳ καὶ αὐτάρκων ἐφίεσθαι. σὺ δ' οἴει ταύτην εἶναι πλεονεξ...

τοῦ σπουδαίου, ὃ δύνασθαι μὲν κτᾶσθαι χρήματα πολλά, τοὺς δὲ δυνατωτάτους ἔχειν φίλους. οὔτε γὰρ χρήματα ἀναγκαῖα ἐστίν, οὔτε εἰ ἀναγκαῖα ἦν, οὕτω ποριζόμενα καλά· οὔτε φίλοι γένοιντο ἂν οἱ πολλοὶ ἀμαθεῖς ὄντες, καὶ ταῦτα τύραννοι. ὥστε σοι συμβουλεύσαιμι ἂν ἀπιέναι Συρακουσῶν τε καὶ Σικελίας. εἰ δ' ὥς φασί τινες, ἡδονὴν θαυμάζεις, καὶ τούτων ἀντέχῃ, ὧν μὴ προσήκει τοὺς φρονίμους ἀνθρώπους, ἄπιθι εἰς Ἀντίκυραν, καὶ ὠφελήσει σε ὁ ἐλλέβορος ποθείς. πολὺ κρείττων γάρ ἐστιν οὗτος τοῦ παρὰ Διονυσίου οἴνου· ἐκεῖνος μὲν γὰρ μανίαν ποιεῖ πολλήν, οὗτος δὲ ἀποπαύει. ὁπόσον δὴ ὑγίειά τε καὶ φρόνησις, τοσοῦτόν τε καὶ ἀφροσύνης διαφέρει, ἐπὶ τοσοῦτον ἂν καὶ σὺ διενέγκοις πρὸς τὰ νῦν σοι ὄντα. ἔρρωσο.

æſtimas, plures ſibi pecuniarum cumulos congerere, & quàm potentiſſimos ſibi beneuolentia coniunctos habere. ſcilicet pecuniæ minimè neceſſariæ, etſi neceſſariæ eſſent, hoc modo comparatæ haud honeſtæ ſunt. Neque multitudo rerum ignoratione cæca, & tyranni potiſſimùm amici erunt. Quare conſilium tibi dederim, Syracuſis, ac Sicula ditione decedito. Verumtamen, ſi vt nonnulli tradunt, voluptatem ſectaris, illíſque inhias, quæ prudentes homines dedecent, Anticyram petito, vbi potus elleborus plurimùm proderit. Dionyſianis enim vinis hic multò melior eſt. Nam illa inſaniam multam conciliant bibenti, hic ſedat. Quantò igitur ſanitas, & prudentia, morbo, atque ſtultitia præſtat, tantò tu his, quibus nunc affluis, antecelleres. Vale.

Ἀρίστιππος Ἀντισθένει. θ'.

Κακοδαιμονοῦμεν, ὦ Ἀντίσθενες, οὐ μετρίως. πῶς γὰρ οὐ μέλλομεν κακοδαιμονεῖν ὄντες παρὰ τυράννῳ, καὶ ὁσημέραι ἐσθίοντες,

Ariſtippus Antiſtheni. IX.

MIRVM quantum infortunati ſumus, Antiſthenes. Nam quomodo ſimili infortunio non lædemur, qui apud tyrannum quotidie lautiſſimis epulis oneramur,

&

& fœcundos calices exſiccamus, & odoratiſſimis vnguentis perunĉti, Taranto aduectas veſtes delicatas, promiſſáſque trahimus. Et nullus me ex crudis Dionyſij manibus eripiet, qui me haud rudem, ſed Socraticorum ſermonum ſtudioſum pignoris loco coërcet, cibos, vti dixi, & vnguenta & veſtes ſubminiſtrans, & qui ſimilia præparat, neque Deorum timet iudicium, neque homines veretur. Sed nunc malum nimium, vltráque progreſſum eſt, cùm nobis puellas Siculas tres forma eximias, & agenteam ſuppellectilem dono dederit. At quando homo hic ſimilia patrandi finem ponet? Rectè itaque facis, aliorum infortuniis ægrè ſollicitus. Sic ego tua felicitate gaudeo, vt ſimilia tui facere, & meritas gratias reddere videar. Vale. Ficus quas habes, in hyemem tibi repone, & farinam Cretenſem tibi compara. Hæc enim, vt videtur, colore præcipuè decora ſunt, & ex Enneacruni fontis aquis lauato, & bibe. Idem tibi pallium hyeme, æſtatéque, ſed ſordidum, vti virum liberum,

καὶ πίνοντες πολυτελῆ, καὶ ἀλειφόμενοί τινι τῶν εὐωδεστάτων μύρων, καὶ σύροντες ἐσθῆτας μαλακὰς ἐκ Τάραντος. καὶ οὐδείς με ἐξαιρήσεται τῆς Διονυσίου ὠμότητος, ὃς ὥς τινα ἐνέχυρον οὐκ ἀγνῶτα, ἀλλὰ καὶ λόγων ἐπιμελητὴν τῶν Σωκρατικῶν κατέχει, ὥσπερ ἔφην, σιτίζων, καὶ ἀλείφων, καὶ ἀμφιεννὺς τοιαῦτα, καὶ οὔτε δίκην φοβεῖται τῶν θεῶν, οὔτ' ἀνθρώπους αἰδεῖται, ὅστις με τοιαῦτα διατίθεται. νῦν δ' αὖ καὶ τὸ κακὸν εἰς τὸ δεινότερον οἴχεται, ὅπου δεδώρηται γυναῖκας Σικελικὰς τρεῖς ἀλέκτους τὸ κάλλος, καὶ ἀργύρια πάμπολλα· καὶ πότε παύσεται ἄνθρωπος οὗτος τοιαῦτα ποιέων οὐκ οἶδα. εὖ νῦν ποιεῖς ἀχθόμενος ἐπὶ τῇ κακοδαιμονίᾳ τῶν ἄλλων. κἀγὼ δὲ ἐπὶ τῇ σῇ εὐδαιμονίᾳ ἥδομαι, ἵνα σοι τὰ αὐτὰ δόξω ποιεῖν τε καὶ ἀποτίνειν τὰς χάριτας. ἔρρωσο. τῶν ἰσχάδων ἀποτίθεσο ὧν ἔχεις εἰς τὸ χεῖμα, καὶ τῶν ἀλφίτων ἔχε τῶν κρητικῶν. ταῦτα γὰρ δοκεῖ ἀμείνω τοῦ χρώματος εἶναι, καὶ ἀπὸ τῆς Ἐννεακρουνῶ λοῦ τε καὶ πῖνε, καὶ τοῦ αὐτοῦ τρίβωνα θέρους τε καὶ χειμῶνος ἔχε ῥυπόωντα, ὡς πρέπει ἐλευ-

θερον, καὶ ζῶντα ἐν Ἀθήναις δαμοκρατικῶς. ἐγὼ μὲν γὰρ ἐξ οὗ εἰς τυραννουμένην ἧκον πόλιν τε καὶ νᾶσον, ᾔδειν ὅτι κακοδαιμονήσω ταῦτα πάσχων, καθάπερ σύ μοι γράφεις νῦν. ἐλεοῦντές με περιβλέπονται Συῤῥακούσιοι, καὶ Ἀκραγαντίνων οἱ ἐπιδημοῦντες, καὶ Γελώων, καὶ οἱ ἄλλοι Σικελιῶται. τῆς δὲ μανίας, ἧς ἐμάνην εἰς ταῦτα ἐλθὼν ἀβούλως τὰ ἀποπήματα, ἐπεύχομαι ἀρὰς κατ' ἐμαυτοῦ, ἃς ἄξιός εἰμι, μὴ ἐκλιπεῖν με τὰ κακὰ ταῦτα. ὅτι τε ἐγὼ γεγονὼς ἔτη τοσαῦτα, καὶ φρονεῖν δοκέων, πεινῆν, καὶ ῥιγοῦν, καὶ ἀδοξεῖν οὐκ ἠθέλησα, οὐδὲ πώγωνα τρέφειν μέγαν. πέμψω δέ σοι τῶν θέρμων τοὺς μεγάλους τε καὶ λευκούς, ἵν' ἔχῃς, μετὰ τὸ ἐπιδείξασθαι τὸν Ἡρακλέα τοῖς νέοις, ἀποτρώγειν. αἰσχρὸν γὰρ οὔ φαντί σοι περὶ τοιούτων ἤδη λέγειν, ἢ γράφειν. Διονυσίῳ γὰρ ἐάν τις λέγῃ περὶ θέρμων, αἰσχρόν γε οἶμαι διὰ τοὺς τῶν τυράννων νόμους. τὰ λοιπὰ δὲ παρὰ Σί-

& Athenis populari inſtituto viuentem, decet, iacta. Ego enim poſtquam in vrbem, & inſulam tyrannide preſſam appuli, ſat noueram hæc me ſubiturum, vt infortunatè agerem, quemadmodum tu etiam mihi ſcribis. Nunc Syracuſani, & qui in hanc vrbem peregrinantur, Agrigentini, Geloi, cæteríque Siculi miſerentes conſpiciunt. Verùm propter inſaniam, quam inſanii, dum ſine conſilio, imprudénſque ad abſurda iſthæc perueni, peſſima mihi, & quibus dignus ſum, deprecor, ne vnquam mala me hæc deſerant. Quòd cùm ea ætate ſim, videárque aliquid ſapere, neque famem, neque frigus, neque gloriam contemnere didici, neque promiſſa barba, ac hirſuta mihi efferauerim ſpeciem oris. Porrò mittam tibi grandes, candidóſque lupinos, vt poſtquam adoleſcentulis Herculem repræſentaueris, habeas, quod manſites. Neque enim turpe eſt, vt ferunt, de talibus tecum & colloqui, & ſcribere. Cum Dionyſio verò, ſi quis de lupinis ſermonem induxerit, propter tyrannorum leges, vt opinor, turpiter fecerit. Reliqua apud Simo-

nem Coriarium diuertens, eloquere, quo tibi in ſapientia nemo grandior eſt, nec erit. Nam mihi ne cum artificibus iſtis, qui manibus operam præſtant, familiariter viuam, interdictum eſt, cùm alieno dominatui ſubdar.

Ariſtippo. x.

DEDI etiam ad Platonem literas, veſtram fidem obſecrans, vt omni cura adhibita Locros iuuenes ſeruetis, & ſimilia tibi ſcribens, vt opinor, non erro: libens enim in fidem recipies. Scis, quæ inter me, & illos intercedat familiaritas; nec non Dionyſium falli, qui ita in eos, quaſi iniuſta patraſſent, affectus eſt. Iam vt primùm patrocinium ſuſcipe. Vale.

Ariſtippus. xi.

LOCRI iuuenes, quos mihi literis commendaras, exempti vinculis, liberi ſinentur, neque neci tradentur, neque lædentur pecunia, licèt iam proximi morti fuerint. Porrò quòd amicos ſeruaui, Antiſthenem lateat: etenim illi non placet tyrannorum amicitia vti, ſed farinarum venditores,

μόνα τὸν Σκυτοτόμον βάδιζε διαλεγόμενος, οὗ μείζων σοι ἐν σοφίᾳ οὐδεὶς ἔσται, οὐδ᾽ αὖ γένοιτο. ἐμοὶ μὲν γὰρ ἀπηγόρευται τοῖς χειροτέχναις παρεστιέναι, ἐπειδὴ ὑφ᾽ ἑτέρων ἐξουσίᾳ εἰμί.

Ἀριστίππῳ. ι'.

ΕΓραψα μὲν καὶ Πλάτωνι παρακαλῶν, ὅπως διαπράξησθε σωθῆναι τοὺς Λοκροὺς νεανίσκους, καί σοι δὲ ταὐτὰ ἐπιστέλλων οὐχ ἁμαρτάνειν οἴομαι· ποιήσεις γὰρ ἀσμένως. οἶσθα δὲ τὴν πρὸς αὐτούς μοι ἑταιρίαν, καὶ ὅτι Διονύσιος ἐξηπάτηται, ὡς ἀδικούντων αὐτόν, ἔχων δόξαν. ἤδη πειρῶ τοῦτο ποιῆσαι θᾶττον. ἔρρωσο.

Ἀρίστιππος. ια'.

ΑΦήσονται τῆς φυλακῆς οἱ νεανίσκοι, περὶ ὧν μοι γράφεις, οἱ Λοκροί, καὶ οὐ τεθνάξονται, οὐδὲ ἀπολέσουσί τι τῶν χρημάτων, ἥκοντές γε παρ᾽ αὐτὰ τοῦ θανάτου. ταῦτα δὲ Ἀντισθένει μὴ λέξῃς, εἰ σέσωκα τοὺς φίλους. οὐ γὰρ αὐτῷ ἀρέσκει τυράννοις φίλοις χρῆσθαι, ἀλλὰ τοῖς ἀλφιτο-

πώλας, καὶ τοὺς καπήλους διαζητεῖν, εἴ τινες δικαίως τὰ ἄλφιτα καὶ τὸν οἶνον πωλοῦσιν ἐν Ἀθήναις, καὶ τὰς ἐξωμίδας μισθοῦσι τὰς παχείας, ὁπόταν οἱ σκίρωνες πνέοντι, καὶ τὸν Σίμωνα θεραπεύειν. τοῦτο γὰρ οὐκ ἔστι χρᾶμα.

Σίμωνος τοῦ Σκυτοτόμου. ιβʹ.

ΑΚούω σε θαυμάζειν ἡμᾶς τῆς σοφίας παρὰ Διονυσίῳ. ἐγὼ δὲ ὁμολογῶ εἶναι Σκυτοτόμος καὶ ἐργάζεσθαι τοιαῦτα, καὶ ὁμοίως, εἰ δέοι, σκύτη τέμνειν αὖ πάλιν εἰς νουθεσίαν ἀνθρώπων ἀφρόνων, καὶ οὕτω μετὰ πολλῆς χλιδῆς οἰομένων ζῆν παρὰ τὴν Σωκράτους βουλήν. ἔσται δὲ ὁ σωφρονιστὴς τῶν ἀφρόνων ὑμῶν παίδων Ἀντισθένης· γράφεις γὰρ αὐτοῦ κωμῳδῶν ἡμῶν τὰς διατριβάς. ἀλλὰ τούτων μὲν, ὦ θεία φρὴν, ἅλις, καὶ πεπαίσθω πρὸς σέ μοι. μέμνησο μέντοι ἀεί μου καὶ δίψης. ταῦτα γὰρ δύναται μέγα τοῖς σωφροσύνην διώκουσιν.

ιγʹ.

ΟΥκ ἐγώ σε κωμῳδῶ, ἀλλὰ Φαίδων, λέγων γεγονέναι σε κρείσσονα, καὶ σοφώ-

ac caupones inueſtigare, qui nulla fraude farinam, & vinum Athenis vendunt, & tunicas graues, dum ſcirones perflant, locant, & Simona fouere. Hæc enim opes non ſunt.

Simonis Coriarij. XII.

TE nos propter ſapientiam apud Dionyſium glorioſos facere, certior factus ſum. At me Coriarium & ſimilium artificem eſſe fateor, aptéque, ſi opus fuerit, pelles incido, ad veſanorum hominum, & qui ſecundùm Socratis conſilia multis affluentes delitiis viuere ſe exiſtimant, inſtructionem. Veſtros autem filios effrænes, ac ſtolidos Antiſthenes in officio continebit, cui noſtra ſtudia, contemptim ludos faciens, ſcribis. Sed de his, diuinum caput, ſatis abundè, iocóque dicta ſint. Sis nihilominus memor ipſe mei ſemper, & ſitis. Hæc ſiquidem iis, qui ſanam mentem ſectantur, maximè conducunt.

XIII.

NON ego te, ſed Phædo peruellit, tradens te præſtantiorem, doctiorém-

que effectum Prodico Cio, qui illius in Herculem encomium contempſiſſe te retulit: tui nihilominus admiratione moueor, & in laudes effundor, qui Coriarius cùm ſis, ſapientiâ tibi concreditâ iamdudum perſuaſeras Socratem, & pulcherrimos quoſque iuuenes, ac nobiliſſimos, Alcibiadem ſcilicet Cliniæ filium, & Myrrhinuſium Phœdrum, & Euthydemum Glyconis, & ex iis, qui res publicas adminiſtrabant, Saceſphorum Epicratem, & Euryptolemum, alióſque ſedes apud te figere induxeras. Quod ſi tunc Pericli Xantippi F. neque exercitus ducerentur, neque bella conficerentur, etiam ille, vt opinor, apud te eſſet. Nunc ſcimus quis ſis, Antiſthenes enim ad te commeat. Attamen potes & apud Syracuſanos Philoſophiæ operam dare. Pelles enim, & coria in pretio ſunt. An non noſti me, qui calceis vtor, quotidie arti tuæ miram quamdam acceſſionem adiungere: Antiſthenem diſcalceatum nihil aliud quàm ferias tibi indicere, & mercede te fraudare: qui iuuenibus, & reliquis Athe-

περὶ Προδίκῳ τῷ Κίῳ, ὃς ἔφα ἀπελέγξαι σε αὐτὸν περὶ τὸ ἐγκώμιον τὸ εἰς τὸν Ἡρακλέα γενόμενον αὐτῷ. θαυμάζω μέν τοι σε καὶ ἐπαινῶ, εἰ σκυτικὸς ὢν σοφίας ἐμπλησθεὶς, καὶ πάλαι μὲν Σωκράτην ἔπειθες, καὶ τοὺς καλλίστους τοὺς νέους καὶ εὐγενεστάτους παρὰ σὲ καθέζεσθαι, οἷον Ἀλκιβιάδην τε τὸν Κλεινίου, καὶ Φαῖδρον τὸν Μυῤῥινούσιον, καὶ Εὐθύδημον τὸν Γλύκωνος, καὶ τῶν τὰ κοινὰ πρασσόντων Ἐπικράτεα τὸν Σακεσφόρον, καὶ Εὐρυπτόλεμον, καὶ τοὺς ἄλλως, ὡς εἰ Περικλῆς γε τῷ Ξανθίππω μὴ αἱ στρατηγίαι ἦσαν, καὶ ὁ πόλεμος τότε· κἂν ἐκεῖνος οἶμαι ἦν παρὰ σέ. καὶ νῦν ἴσμεν ὁποῖος εἶ, Ἀντισθένας γὰρ παρὰ σὲ φοιτᾷ. δύνῃ δὲ καὶ ἐν Συῤῥακούσαις φιλοσοφεῖν. οἱ γὰρ ἱμάντες τίμιοί εἰσι, καὶ τὰ σκύτη. καὶ οὐκ οἶσθα, ὡς ἐγὼ μὲν τῶν ὑποδημάτων χρώμενος περιέκαστα τὴν τέχναν σου θαυμασίαν τινὰ ποιῶ· Ἀντισθένας δὲ γυμνοποδῶν· τί γὰρ ἄλλο πράττει, ἢ σοὶ ἀργίαν, καὶ ἀμαθίαν εἰσάγει, πείθων τοὺς νέους καὶ ἀπαντας Ἀθη-

ναίων γυμνοποδεῖν; σκόπει οὖν ὁπόσον σοι ἐγὼ φίλος ῥαστώνην, καὶ τὴν ἁδονὰν ἀποδεχόμενος. σὺ δὲ ὁμολογῶν εὐλόγως ἐρωτᾶν Πρόδικον, τὸ ἀκόλουθον οὐκ ἔγνως ἐπὶ σαυτοῦ. οὕτως γὰρ ἂν ἐμὲ μὲν ἐθαύμαζες, τοὺς δὲ ἔχοντας βαθεῖς τοὺς πώγωνας, καὶ τοὺς σκίπωνας ἐγέλασας τῆς ἀλαζονείας, ῥυπῶντάς τε, καὶ φθειρῶντας, καὶ ὄνυχας ὥσπερ τὰ θηρία μακροὺς περικειμένους, καὶ ἐναντίας σου τῆς τέχνης ὑποτιθεμένους ὑποθήκας.

Ξενοφῶντι. ιδʹ.

Ἤδη μέντοι οἱ περὶ Γρύλλον τὸν παῖδά σου τὸν Γέτην παρὰ σὲ πεπόμφασιν ἄπαντα ἀπαγγελοῦντα τὰ περὶ Σωκράτην, ἃ ἐγένετο ἔν τε τῇ δίκῃ καὶ τῷ θανάτῳ αὐτοῦ. ἔδει μέντοι μὴ καὶ ὧδε τὴν τύχην κωλύμην τινὰ ποιήσασθαι, ὥστε μηδέ σε τυχεῖν Ἀθήνησιν, εἶναι δὲ περὶ Λακεδαίμονα. πῶς ἂν οὖν, ὦ Ξενοφῶν, τὴν μιαρίαν τοῦ Βυρσοδέψου Ἀνύτου γράφοιμι, τήν τε Μελίτου τόλμαν, καὶ τὸ θράσος αὐτῶν.

nienſium perſuadet, vt ſine calceis incedant? conſidera ergo, quantò ego tibi vtilior ſim, qui vitam tranquillam, otioſam, ac voluptariam amplector. Tu verò qui peropportunis interrogatiunculis Prodicum pungere affirmas, tua pro hac re commoda non agnoſcis. Nam ſic me laudares, & hos tuos promiſſarum barbarum cultores, baculiſque innixos ob ſuperbiam & faſtum, viros ſordidos, ſquallidos, pedicoſos, recuruis vnguibus belluarum more fœdatos, aduerſa tuæ arti monita diſſeminantes, contemneres.

Xenophonti. XIV.

GRYLLI tui familiares Getam ad te iamdudum miſerant, quæ Socrati, ſiue in iudicio, ſiue in morte contigerunt, nunciaturum. At fortuna, proh nefas! impedimento tibi fuit, ne Athenis adeſſes, ſed circa Lacedæmonem vagareris. Quanam ergo ratione, ô Xenophon, ſceleſtum, ac improbum Anyti Coriarij facinus, effrænem Meliti libidinem, ac eorum proiectam audaciam ſcripto mandarem?

Profligatiſſimi enim homines ad exitum vſque rerum in ſcelere, ac furore perſtitere, & cùm nos putaremus eos, propriarum artium rubore ſuffuſos, ferociam compreſſuros, illi maiori impetu miſeris modis in nos ſæuire non deſtiterunt. Etſi Melitus in iudicio nil proprij habuiſſet, næ ille homo non fuiſſet infelix. Nam accuſationis origo Anytus fuit. Propterea quòd Socrates inter iuuenes diſſerendo, ſi quando ſermo incidiſſet, infanda eſſe, quæ circa pelles agerentur, affirmabat, demonſtrabátque rebus, quibus incumbunt, animum aduertendum eſſe ab iis, qui earum cognitionem tenent, ſic etiam id præſtant, qui id ſe præſtare poſſe profitentur, quemadmodum nouimus Arumenum, qui medicinam didicerat, & qui Muſicen Damonem, & Metrobij filium Connum. Neque enim eum illius exercitii pudebat, quando illius filii, licèt operam dederint Socrati, non vſque profecerunt, vt alimenta ſibi ex cauſis dicendis comparent, nec aliam ipſe amplexatus ſit artem, licèt Orci galeâ ſeptus,

τούτω γὰρ τὼ μιαρωτάτω ἄνδρε μέχρι τελευτῆς τῶν πραγμάτων παρεμεινάτην πονηρώ, καὶ ἡμῶν οἰομένων αὐτοὺς τὰς τέχνας αὐτῶν αἰσχυνθέντας καταθέσθαι, ἔτι μᾶλλον ἐχώρησαν τοῦ κακὰ ἡμῖν παρέχειν. καὶ εἴπερ Μέλιτος ἐν τῷ δικαστηρίῳ οὐδὲν ἴδιον εἶχεν, κακοδαίμων ἦν ἄνθρωπος. ἦν μὲν γὰρ ἡ ῥίζα τῆς γραφῆς Ἄνυτος, δι' ὧν Σωκράτης ἔλεγεν αὐτοὺς ἐν τοῖς νέοις ἄρρητα εἶναι τὰ περὶ βύρσας, εἴποτε διαλέγοιτο, καὶ κατασκευάζοι περὶ τοῦ ἐπιστήμην ἔχοντας προσιέναι τούτοις τοῖς πράγμασιν, οἷς προσίασιν. οὕτως οἱ ἐπαγγελλόμενοι ὁτιοῦν πράττειν, ἀκούομεν τὸν μαθόντα τὰ ἰατρικὰ καὶ τὰ μουσικὰ Δάμωνά τε καὶ Κόννον τὸν Μητροβίου. οὐ γὰρ ἠδεῖτο, οἶμαι, ὡς μὴ ἐργασόμενος αὐτά, ὁπότε οἱ υἱεῖς αὐτοῦ ἀκροασάμενοι Σωκράτους, ἄχρι νῦν οὔτε τὸ βῆμα αὐτῶν τρέφειν, οὐ καταπετόλμηται καὶ διεξηρτήσατο αὐτῷ ἄλλη τέχνη, κἂν πολλάκις περικρύπτηται περιθέμενος τὴν ἅδου κυνῆν,

ἢ τὸν Γύγου δακτύλιον, καὶ δίκην γράφηται τοῖς ἐν τῇ πόλει. ζῇ γὰρ ἀπὸ βυρσοδεψικῆς. τὸ μὲν οὖν ὄνομα, ὥσπερ ἔφην, ἦν Μελίτου τοῦ μαθητοῦ αὐτοῦ καὶ διακόνου ἅμα. αὐτὸς γὰρ ὡς ἐν τραγῳδίᾳ ὑπεκρίνετο Μενοικέα τὸν φιλόσοφον, ἀφ' οὗ ἠγανάκτει, ὡς ἡ πόλις ἀδικοῖτο ὑπὸ τούτων ἢ αὐτή. ὁ δὲ λόγος ὁ ἄθλιος ἤθελέ σε εἶναι ἐνθάδε, καὶ ἐγέλασας ἂν ἐν ταῖς συμφοραῖς. ἦν δὲ Πολυκράτους τοῦ λογογράφου, ὃν ἐκεῖνος, ὥσπερ ἐν διδασκαλείῳ παῖδες τὰς ῥήσεις λέγοντες, ἀναβὰς ὁπότε κατηγόρει, ἐδεδίει τε, καὶ ἀπεστρέφετο, καὶ ἐπελανθάνετο, καὶ ἄλλοι αὐτῷ ὑπέβαλλον, καθό τι καὶ Καλλιπίδῃ τῷ ὑποκριτῇ, καὶ κακὸν κακῶς ἄνω τε καὶ κάτω αὐτόν τε, καὶ τὸ σύγγραμμα ἐπιτρίψας κατέβη. Σωκράτης δὲ πάντα μᾶλλον ἐνενοήθη τότε, ἢ ὅτι ἀγῶνα ἀγωνίζοιτο τοσοῦτον. καὶ ὁποῖον γὰρ αὐτὸς οἶδας, μειδιάσας βλοσυρόν τι, καὶ μεμιγμένον γέλωτι, ἐκεῖνα εἶπεν, ἅ σοι οἱ υἱεῖς γρά-

& annulum Gygis geſtans, ciuibúſque dicas impingat, occultare ſe geſtiet: nam ex arte Coriaria ſibi victum miniſtrat. Nomen itaque, vt iam innui, Anyti, illius auditoris, ac miniſtri erat. Hic enim veluti fabulam agens Menœcea Philoſophum repræſentabat, ſub cuius perſona ciuitatem iniuſtè premi à ſimilium hominum genere vultu triſti dolebat. Miſeranda verò oratio illud omninò poſtulabat, vt hîc adeſſes. Namque in ipſis calamitatibus riſum continere non potuiſſes. Erat autem Polycratis, qui orationes ſcriptitare ſolebat. Eam ipſe, veluti in ludo literario pueri ſententiunculas, recitans, tribunal aſcendens inter accuſandum præ metu nunc formidare, nunc auerſari, & obliuiſci, alii illi, quemadmodũ & Callipidi hiſtrioni, verba ſuggerere: tandem improbus ſemetipſo, & oratione ſúſque déque malè habita, & peſſimis modis pertractata deſcendere. Socrates præ hoc ſolo, quòd illi tantum certamen adeundum erat, reliqua omnia animo finxerat, & in riſum toruum quidem, ſed blandum, qualem ipſe etiam noſti, effuſus, quæ tibi filij ſcri-

pto

pro conſignata dederunt; allocutus eſt. Et iudices ab officina, quæ extrinſecus erat, circumſepti, tamen vt quamquaſi æſtimationem commeruiſſet, confiteretur, imperāt. ille firma animi cōfeſſione, ſeſe, pro quibus in iudicium vocabat, meruiſſe reſpondit, vt ei victus quotidianus in Prytaneo publicè præberetur. Illi magis tunc exarſerunt, condemnarúntque. Etenim ſi Socrates pro ſe ipſe in iudicio dixiſſet, verebantur, ne cauſam effugeret, & effugiſſet vtique. Verùm nunc nullis eos, neque blanditiis fouendos, neq; precibus exorandos, ſed tantùm vera ac iuſta in medium afferenda eſſe exiſtimauit. Quòd ſi hac ratione ſui defenſionem inſtituiſſet, abſque dubio iudicum tamen, qui ipſum condēnarant, iniuria condemnatus fuiſſet. Quòd ſi quid indecorè feciſſet, aut ſeipſo, & Philoſophia indigna effatus iudicio liberaretur, nouo oppreſſus iugo miſerrimā poſthac, ac deſpectiſſimā, vt ipſe aiebat, ſeruitutem ſeruiſſet. Vltimum præterea ætatis tempus expectare dicebat; ſenectutémque morte ipſa minùs tolerabilem & magis moleſtam. Imò, ſi liberaretur, neque acutiùs in

ψαντες ἔπεμψαν. οἵ τε δικασταὶ τότε μὲν κρατούμενοι ὑπὸ τοῦ ἐργαστηρείου παντὸς τοῦ ἔξωθεν περιεστῶτος, ὅμως ὑποτιμήσασθαι ἔλεγον. ὁ δὲ μάλα θαῤῥαλέως, τῆς ἐν Πρυτανείῳ σιτήσεως ὑποτιμῶμαι ταύτην τὴν δίκην, εἶπεν. οἱ δὲ ἐπέφυσαν τότε δὴ μᾶλλον. καὶ γὰρ ἀπολογουμένου αὐτοῦ, δέος ἐποιοῦντο μὴ ἀποφύγοι, κἂν ἀπέφυγε δὲ Σωκράτης· νῦν δὲ οὔτε κολακείαν, οὔτε δέησιν ᾤετο δεῖν προσάγειν τινὰ αὐτοῖς, ἀλλὰ τἀληθῆ καὶ δίκαια λέγειν. ἔστι γὰρ ἀπολογούμενος ἑάλω, εἰ μὴ αὐτὸς ᾤετο, ἀδικήσειν, τοὺς μέν τοι καταψηφισαμένους αὐτοῦ. εἰ μέν τοίγε ποιήσας, καὶ εἰπὼν ἀνάξια ἑαυτοῦ καὶ φιλοσοφίας ἀπολυθείη, ἀνδραπόδου βίον ἔφη βιώσειν ἐπαράτου. ἄλλως τε καὶ γῆρας αὐτῷ ἔφη ὑποκεῖσθαι, καὶ τὸ ζῆν μὴ κρεῖττον αὐτῷ ἔσεσθαι τὸ ἔπειτα, ἀλλὰ κάκιον· κἂν ἀπολυθείη, οὔτε κρεῖττον

ἰδεῖν, ἢ ἀκοῦσαι ἔτι δύναιτο. ὥστε κατὰ Θεὸν αὐτῷ ἐδόκει ἤδη παρεῖναι ὁ θάνατος, καὶ καταψηφισθεὶς, γελῶν ἐξῄει. καὶ τὸν χρόνον τὸν ἐν δεσμωτηρίῳ μᾶλλον ἥδετο ἡμῖν διαλεγόμενος, ἢ ὁπότε οὐδέπω αὐτὸν ἐγέγραπτο Μέλιτος, οὐδὲ ἐνεπεπτώκει εἰς τὸ δεσμωτήριον. ἔλεγε δὲ διότι τὸ οἴκημα ἔνθα ἦν, καὶ τοὺς δεσμοὺς ἀναγκάζειν αὐτὸν φιλοσοφεῖν. ἀεὶ μὲν γὰρ περιεστώνων, ἔφασκεν, ἐν ἀγορᾷ περιειλκόμην. καὶ τοιαῦτα καὶ τοσαῦτα, καὶ οὕτως ἡμῖν διελέγετο, ὥστε ἐπιλανθάνεσθαι πολλάκις, ὅτι ἐνεπεπτώκει, καὶ προσπίπτειν λόγοις καὶ φωναῖς τοιαύταις, αἳ οὐκ ἂν λεχθεῖεν ἐν συμφοραῖς. εἶτα δὲ ἀναμιμνησκομένους εἰς αὖθις ἐπιτιμᾶν ἡμῖν αὐτοῖς τῆς ἀμνημοσύνης ἕκαστον ἑκάστῳ τῶν παρόντων. τὸν δὲ ὑποτοποῦντα τὸ γινόμενον ἡμῖν πάθος διασκοπεῖν, καὶ λέγειν, ὡς οὐ μέλει ὑμῖν, εἰ αὐτίκα τεθνήξοιτο, ὅτι οὕτω γελῴημεν. καὶ ἐπιλαβόμενος δὲ Κρίτωνα, ὦ μῶρε, ἔφη. νῦν γὰρ θάνε καὶ ὀλύμπια, καὶ πᾶσα πανήγυρεις,

poſterum videre, neque audire commodiùs potuiſſet. Hinc Deo auſpice ad mortem duci cenſebat, condemnatúſque, dum egreditur, à riſu non abſtinuit. & toto eo tempore, quo in vinculis, ac carcere fuit, voluptas illi multò maxima fuit, quàm aliàs vnquam antequam Meliti accuſatione in carcerem coniiceretur. Aiebat ſiquidem, in qua erat, habitationem, & vincula ad philoſophandum ipſum compellere, cùm in foro continuo ab alio atque alio diuulſus abſtraheretur. Hæc & ſimilia, nec alia ratione cùm ille ediceret, ſæpè ſæpiùs nos in obliuionem incidebamus, cum cuſtodia conſtringi, in eóſque ſermones ac voces incidere, quæ in infortuniis haud dicerentur. deinceps in noſmet reuerſi, alter alterum præſentium obliuionem ſubaccuſantes reprehendebamus: Socrates qui iam ſuſpicabatur, motus noſtros conſpiciens, nihil curæ nobis eſſe dicebat, ſi mox ipſe moreretur, quando ita rideremus. arreptóque Critone, ô miſer, ait. Nunc mors, & Olympiorum, ac cæterarum ſolemnitatum feſtus exęquat,

quando in loca meliora, longè omninò ab hiſce diſſita poſt mortem, nec fallor, progreſſuri ſumus. in multis præterea, ac probis cum Cebete, & Simmia familiariter confabulans ſermonibus verſatus eſt. Animum ſcilicet eſſe immortalem, eóſque, qui prudentiæ operam dederunt, in Deorum locum proficiſci, neque graue aliquid in re, quam mortem vocamus, perpeti, adeò vt nos iamiam moriturum Socratem, cuius calamitati inuidebamus, neutiquam deploraremus, ſed noſmetipſos, qui tanto ac vero bono orbati vitam prorogamus. Rem enim peregrinationem quandam eſſe dicebat; hortabatúrque nobis internunciis Euenum poëtam, ſi benè ſaperet, quàm citiſſimè ad ipſum properaret, propter poëſim philoſophum. Philoſophus etenim, ſemper ac ſi moreretur, viuit, cùm corporis appetitus aſpernatus, illius illecebris non deſeruit. Quod ſanè nihil aliud eſt, quemadmodum mors, quàm animæ à corpore ſeparatio. quo non neminem ad ſuam ſententiam, nec difficulter perduxit. Hiſce namque

ἐπειδὴ ἀποδημεῖν μέλλομεν εἰς τι χωρίον κρεῖττον καὶ τούτου, τεθανατωμένοι, ὡς πρὸς τὴν ἀλήθειαν. ἑτέροις τε λόγοις, καὶ πολλοὺς καὶ καλοὺς πρὸς Κέβητα, καὶ Σιμμίαν τὼ Θηβαίω διελέχθη· ὅτι εἴη ἡ ψυχὴ ἀθάνατος, καὶ ὅτι οἱ τῆς φρονήσεως ἐπιμεληθέντες εἰς χῶρον τῶν Θεῶν ἀπίασιν, καὶ οὐδὲν δεινὸν ἐν τῷ λεγομένῳ θανάτῳ πάσχουσιν. ὥσθ᾽ ἡμᾶς μὴ οἷόν τε κλαίειν Σωκράτην, ὅτι μέλλει ἀποθνήσκειν, ἀλλὰ φθονεῖν αὐτῷ, ἡμᾶς δὲ αὐτοὺς κλαίειν ὅτι ζῶμεν, ἡττώμενοι τοσούτου ἀγαθοῦ τῇ ἀληθείᾳ. ἀποδημίαν γὰρ ἔλεγε τὸ χρῆμα τοῦτο, καὶ Εὔηνον τὸν ποιητὴν παρεκάλει δι᾽ ἡμῶν, εἰ εὖ γινώσκοι, ἰέναι θᾶττον παρ᾽ αὐτὸν, ἐπειδὴ φιλόσοφός ἐστι διὰ τὴν ποίησιν. τὸν γὰρ φιλόσοφον μηδὲν ἄλλο ποιεῖν, ἢ θανατᾶν, ἐπειδὴ τῶν τοῦ σώματος αἰτημάτων καταφρονεῖ μὴ δουλούμενος ταῖς τοῦ σώματος ἡδοναῖς· τοῦτο δὲ μηδὲν ἕτερον εἶναι), ἢ ψυχῆς αὖ πάλιν ἀπὸ σώματος ἀπόστασιν. τούτῳ γὰρ δὴ καὶ μάλα τις πειθήνιος ἐγίνετο. ἐξηπάτα γὰρ

ἡμᾶς τούτοις τοῖς λόγοις, οἶμαι, ἵνα μὴ κλαίωμεν, ὡς ἐν κακῷ ἐσομένου αὐτοῦ. σχεδὸν δέ τι καὶ ἀληθεῖς ἦσαν οἱ λόγοι· εἶτα δὴ ἐπελθόντα ποιήσας ἡμέρας τριάκοντα, διὰ τὸ πλοῖον, τὸ εἰς Δῆλον πεμπόμενον κατ' ἔτος. οὐ γὰρ ἀφῖκτο ἐπὶ πολλὰς ἡμέρας· καὶ οὐκ ἐξῆν τινα τελευτᾶν δημοσίᾳ, ὥσπερ οἶσθα· ἱεραὶ γὰρ ἦσαν. τῶν δὲ φίλων παρῆμεν αὐτοῦ τελευτῶντι, ἐγὼ καὶ Τερψίων, καὶ Ἀπολλόδωρος, καὶ Φαίδων, καὶ Ἀντισθένης, καὶ Ἑρμογένης, καὶ Κτήσιππος, Πλάτων δὲ, καὶ Κλεόμβροτος, καὶ Ἀρίστιππος ὑστέρουν. ὁ μὲν γὰρ Πλάτων ἐνόσει, τὼ ἑτέρω δὲ περὶ Αἴγιναν ἤστην. ὡς δὲ ἔπιε τὸ φάρμακον ἐπέστελλεν ἡμῖν τῷ Ἀσκληπιῷ θῦσαι ἀλεκτρυόνα· ὀφείλειν γὰρ αὐτῷ κατ' εὐχήν τινα, ὁπότε ἠσθένει ἀφικόμενος ἀπὸ τῆς ἐπὶ Δηλίῳ μάχης. δακρύσαντες οὖν μετά τινος θαυμασμοῦ ἐκκομίζοντες αὐτὸν κατεθάπτομεν, ὡς τότε ὁ κῆρυξ ἐδίδου, καὶ αὐτὸς ἐβούλετο. οὐδὲ γὰρ πρόνοιαν τινα ἡμῖν ἐπέστελλε ποιήσασθαι τοῦ σώματος· εἶναι γὰρ αὐτὸ ἄτιμον, καὶ μηκέτι

ſermonibus deceptos ludificabat, vt ego ſuſpicor, ne tanquam imminente ipſi incommodo, effunderemur in lacrymas. Et fortè etiam rem loquebatur veram. Tandem poſt dies triginta propter nauigium quotannis in Delum inſulam mitti ſolitum, cùm illud ante eos dies, quibus quemquam publico decreto capite multari ob ſanctitatem nefas habetur, non rediiſſet, vitam abſoluit. Ex familiaribus verò aderant ipſi morienti, ego quidem, & Terpſio, Apollodorus, Phædo, Antiſthenes, Hermogenes, Cteſippus: Plato verò, Cleombrotus, atque Ariſtippus non interfuere. Plato ſiquidem ægrotabat, reliqui duo Æginæ erant. Vbi verò venenum hauſit, vt Æſculapio Gallum ſacrificaremus, nobis demandauit. Voto ob recuperatam ſanitatem, cùm è Delia pugna rediiſſet, illi dicebat deberi. Illacrymati itaque non ſine admiratione elatum pro tempore, & vt ipſe iuſſerat, ſepeliebamus. Iuſſerat enim nullam corpori curam, quando iam deſtitutum anima abſque vllo honore, ad om-

nia eſſet ineptum, adhibendam. Nos nihilominus, vti fieri potuit, & calamitatem contempſimus, nec obediuimus mandatis: ideóque lotum quàm maximè exornauimus, & palliolis coopertum decorè admodum ſepeliuimus. Hæc ſunt Socratis, & res noſtræ, ô Xenophon. At tibi expeditio illa fuit impedimento, ne hîc adeſſes; quandoquidem vna nobiſcum viuentem Socratem, ac morientem fouiſſes.

Xenophon. xv.

QVI vnà cum filio meo Gryllo erant, quod eorum muneris erat, agebant; & vos benefacitis, qui de iis quæ Socrati euenêre, literis certiorem reddidiſtis. operæpretium ſiquidem eſt, & nos viros probos fieri, eúmque admirari, quod caſtè, piè, ac iuſtè vitam tranſegerit; fortunam verò incuſare, & vituperare eos etiam, qui in eum ſimilia machinati ſunt; breui enim pœnas dabunt. Lacedæmonij item ipſi rei atrocitate indignantur. rumor quippe triſtis, ac ſiniſter hucuſque perlatus eſt, populúmque noſtrum maledictis inceſſunt,

χρήσιμον, τῆς ψυχῆς αὐτοῦ ἐγκαταλιπούσης. ὅμως δ' οὖν ἡμεῖς εἰς τὸ δυνατὸν καὶ τῆς συμφορᾶς ὑπερείδομεν, καὶ τῶν λόγων περιηκούσαμεν. καὶ ὡς οἷόν τε ἦν ἐκαλλωπίσαμεν αὐτὸ λούσαντες, καὶ τοῖς τριβωνίοις ἀμπισχόντες, καὶ πρεπόντως θάψαντες ἀπῆμεν. ταῦτ', ἦν τὰ περὶ Σωκράτην, καὶ ἡμᾶς, ὦ Ξενοφῶν. καὶ σοὶ δ' ἡ στρατεία ἦν τὸ μέγα ἐμπόδιον, ἐπεὶ ἦσθα ἂν σὺν ἡμῖν θεραπεύων Σωκράτην ζῶντά τε καὶ τελευτῶντα.

Ξενοφῶν. ιε'.

ΚΑὶ οἱ περὶ Γρύλλον τὸν υἱέα μου ἐποίουν, ὅπερ ἦν εἰκὸς αὐτοὺς ποιεῖν· καὶ ὑμεῖς δὲ εὖ πράττετε γράψαντες ἡμῖν τὰ περὶ Σωκράτους. δεῖ μὲν τοίγε ἡμᾶς ἄνδρας ἀγαθοὺς γίνεσθαι, κἀκεῖνον μὲν ἐπαινεῖν ὧν ἐβίωσε σωφρόνως καὶ ὁσίως, καὶ εὐσεβῶς, αἰτιᾶσθαι δὲ καὶ ψέγειν τὴν τύχην, καὶ τοὺς ἐπισυστάντας αὐτῷ, οἳ οὐκ εἰς μακρὰν τίσουσι δίκην. δεινὸν δὲ ποιοῦνται καὶ Λακεδαιμόνιοι· τὸ γὰρ πάθος ἤδη ἄχρι καὶ δεῦρο διήκει· καὶ κακίζουσι τὸν δῆμον ἡμῶν λέγοντες,

ὡς πάλιν ἀφραίνοι, ὅπου τὸν σοφώτατον, καὶ ὑπὸ τῆς Πυθίας μαρτυρηθέντα σωφρονέστατον ἐπείσθησαν ἀποκτεινύναι. εἴ του δέοιντο οἱ Σωκράτους ἑταῖροι ὧν ἔπεμψα, σημαίνετέ μοι. ἐπικουρήσομεν γὰρ, ἐπεὶ τοῦτο καλὸν καὶ ἀναγκαῖον ἐστίν. εὖ ποιεῖτε τὸν Αἰσχίνην ἔχοντες ἐν αὐτοῖς, ὥστε γράφειν μοι. δοκεῖ μέντοι χρῆναι ἡμᾶς συγγράφειν, ἅ ποτε εἶπεν ἀνὴρ καὶ ἔπραξεν. καὶ αὕτη ἀπολογία γένοιτ' ἂν αὐτοῦ βελτίστη εἰς τὸ νῦν τε, καὶ εἰς τὸ ἔπειτα, οὐκ ἐν δικαστηρίῳ ἀγωνιζομένων ἡμῶν. ἀλλ' εἰς ἅπαντα τὸν βίον παραληφθέντων τῆς ἀρετῆς τ' ἀνδρός. καί φημι δὴ ἀδικήσειν τὴν κοινὴν ἑταιρείαν, καὶ ὡς ἐκεῖνος ἔλεγε, τὴν ἀλήθειαν, εἰ μὴ ἀσμενοι γράψαιμεν. ἤδη δέ μοι καὶ Πλάτωνος περιέπεσε σύγγραμμα τοιοῦτον, ὅπου τοὔνομα ἦν τοῦ Σωκράτους, καὶ διάλεξίς τις οὐ φαύλη πρός τινας. εἴμαι μέντοι περὶ Μέγαρα ἀνέγνων, ὡς λέγεταί τινα τῶν Μεγαρέων τῶν τοιούτων. ἡμεῖς μέντοι φαμὲν, ὅτι τοιαῦτα οὐκ ἠκούσαμεν.

quòd iterùm plenè inſaniat; quando Pythiæ teſtimonio ſapientiſſimum, & prudentiſſimum iudicatum, aliorum calumniis animum induxerint, vt perderent. Si quis ex Socratis familiaribus opus habet eorum, quæ miſimus, indicate mihi. pollicemur namque operam noſtram, cùm hoc bonum ſit & neceſſarium. Rectè facitis, qui in conſortio Æſchinis mihi ſcribitis. Mea ſiquidem ſententia eſt, omninò monumentis eſſe tradenda viri illius geſta, dictáve, quæ optima pro eo in præſens, & in futurum etiam tempus, non apud iudices nobis concertantibus, ſed in omnium oculos virtutem hominis proponentibus, defenſio erit: affirmóque communi conſuetudini, &, vt ille aiebat, ipſi veritati inſignitè iniuriam nos facturos, niſi lubentes ſcriptionis omne genus aggrediamur. Iam mihi Platonis etiam non diſſimilis commentarius, in quo nomen erat Socratis, colloquiúmq; non ingratum cum quibuſdam in manus venit, & niſi me memoria fallit Megaris ſcriptum percurri. . . . . Nos tamen dicimus nihil eorum audiiſſe,

neque poſſe ſimilia in hominum memoriam conſcribere. neque enim ſumus poëtæ, ſicut ille; licèt ipſe omninò ſe poëſim affectare neget. Nam ipſe cum bellulis hiſce delitias agens, negat aliquod ſuum extare poëma, ſed Socratis, cùm iuuenis erat, & pulcher. Valete mihi viri ad omnia quàm aptiſſimi.

Ariſtippus. XVI.

De morte Socratis ego, & Cleombrotus certiores redditi ſumus. Nunciatum item eſt, cùm illi ab vndecim viris facultas fugiendi daretur, permanſiſſe, dicentem nolle fugere, niſi ſcriptarum legum ſtatutis abſolueretur. Aliter enim illius patria, quantum in ipſo erat, proderetur. Mea verò opinio ferebat, ab eo, cùm iniuſtè cuſtodia detineretur, quacunque ratione ſalutem petendam fuiſſe, exiſtimóque omnia, quæ ab illo, ſiue malè, ſiue inconſideratè geri potuerunt, iuſta fuiſſe; dummodò, ſi præter modum ſuccedant, nullus nobis querelæ locus relinquatur. Significaſti etiam mihi omnes Socratis amatores, ac Philoſophos timen-

ἀλλ᾽ ὅτι τοιαῦτα οὐ δυνάμεθα ἀπομνημονεύειν. οὐδὲ γὰρ ἐσμὲν ποιηταί, ὥσπερ καὶ αὐτός, κἂν πάνυ ἀπαρνήσαι ποιητικήν. θρυπτόμενος γὰρ πρὸς τοὺς καλούς, φησὶν μηδὲν εἶναι ποίημα αὐτοῦ. Σωκράτους μέν τοι νέου, καὶ καλοῦ ὄντος. ἔῤῥωσθόν μοι ὡς ἁρμονιωδεστάτω ἄνδρε.

Ἀρίστιππος. ιϛ'.

Τὰ περὶ τῆς τελευταίας Σωκράτους ἐμάθομεν ἐγώ τε καὶ Κλεόμβροτος. καὶ ὅτι οὔτε περιϊόμενος ὑπὸ τῶν ἕνδεκα διαδιδράναι ὑπέμεινε, λέγων, ὅτι νῦν μέλλοι δικάσειν, εἰ μὴ καὶ πρότερον παρὰ τοὺς νόμους σωθείη. οὕτω γὰρ ἂν ἡ πατρὶς αὐτοῦ, ὅσον ἐφ᾽ αὐτῷ, καταπροδοθείη. ἐμοὶ δὲ ἐδόκει ἀδίκως αὐτὸν ἐμπεσόντα, ὅτῳ δή ποτε τρόπῳ σώζεσθαι. δοκέω μέντοι πάντα τὰ ἐκείνῳ πρασσόμενα καὶ κακὰ, καὶ ἄφρονα δίκαια εἶναι, ὥστε ταῦτα πάλιν μὴ ἐπιμέμφεσθαι ἀμέτρως γεγονέναι. ἐπέστειλας δέ μοι πῶς ἀνεχωρήσατε πάντες ἀπ᾽ Ἀθηνῶν οἱ Σωκράτους ἐρασταί τε καὶ φιλόσοφοι, δε-

διότες, μή τι τὸ ἐφ' ὑμᾶς ἔλθοι τὴν αὐτὴν δή, καὶ οὐκ ἐποιῆτε φλαύρως. καὶ ἄμες οὖν ὡς ἐσμὲν ἐν Αἰγίνᾳ διατελέομες ἐπὶ τοῦ παρόντος. εἶτα δὲ παρ' ὑμᾶς ἀφιξόμεθα, καὶ εἴ τι ἔχοιμες βέλτιον ποιέειν, ποιήσομες.

ιζ.

Εἰδὼς ὅπως εἶχες πρὸς Σωκράτην ζῶντα, καὶ πρὸς ἡμᾶς τοὺς ἐκείνου φίλους, καὶ ὅτι κατὰ τὸ εἰκὸς ἐθαύμασάς τε, καὶ ἐσχετλίασας, εἰ ὁ πρός σέ γε καὶ τὸν Κεῖον Πρόδικον, καὶ Πρωταγόραν τὸν Ἀβδηρίτην διαμαχόμενος περὶ ἀρετῆς, ἥ ἂν γένοιτο, καὶ ὅπως ἂν γένοιτο, καὶ ὅτι χρὴ ταύτης πάντας ἐφίεσθαι, οὗτος ὡς πονηρότατος καὶ ἀμαθέστατος τοῦ καλοῦ καὶ τοῦ δικαίου πρός τε Θεοὺς, καὶ πρὸς ἀνθρώπους, τοῖς ἕνδεκα δόξαν, ἀνῃρέθη. ἔγραψά σοι πυθόμενος ὅτι οἴκοι εἴης ἐν Χίῳ, περὶ τῶν ἔπειτα, ἵνα ἡσθείης. Ἀθηναῖοι γὰρ ἤδη ποτὲ ἀνύπνωσαν ὑπνώσαντες, Ἄνυτόν τε καὶ Μέλιτον ὡς ἀνοσιουργοὺς προσκαλεσάμενοι ἀπέκτειναν,

tes, ne quid vobis tale obtingeret, Athenis exiiſſe, quod optimè factum fuit. Nos item ad hunc diem, vti poſſumus, Æginæ commoramur. tandem veniemus ad vos, & ſi quid in rem veſtram conferre poterimus, conferemus.

XVII.

TVVM erga Socratem, cùm viueret, nóſque qui illius amicitia iungebamur, amorem benè ego noſcens, & te, vt par erat, admiratum, ægrè tuliſſe, quando ille, qui vnà tecum, & Prodico Ceio, atque Abderita Protagora de virtute, qualis debeat eſſe, quomodo poſſet acquiri, & vt ad eam omnes anhelare debeant, decertabat, quaſi omnium improbiſſimus, ac ſi recti, iuſtique erga Deos, & homines nullum cognitionis veſtigium poſſideret, Vndecim-Virorum decreto mortem oppetiit: cùm te Chij domicilium poſuiſſe audiſſem, de iis, quæ ſubſecuta ſunt, vt oblectareris, ad te litteras dedi. Athenienſes quippe dormientes, ſomno tandem exciti ſunt: & Anytum, atque Melitum aduocatos, tanquam impios, & conſceleratos occiderunt,

quòd

quòd tanti mali cauſæ vrbi fuêre. Hæ verò contra eos multæ cauſæ repertæ ſunt. Verè namque Athenienſes poſt illius necem ab omnibus pro iis, quæ geſſerant, in iudicium vocabantur. Neque enim ille, cùm iniuſtè non ageret, accuſandus erat, accuſatúſque neutiquam perimendus. Quid enim refert, ſi per Platanum, & canem iurabat? Quid ſi priuatim, & publicè omnes interrogabat, quòd nihil neque iuſti noſſent, neque honeſti? Iuuenes præterea intemperantiæ, ac vitæ flagitioſæ dediti in ciuitate, illius certè præſentia, vt vt erat, vel rubore ſuffundebantur. Eos porrò Lacedæmonij adoleſcentuli caſus mirum in modum commouit. Venit enim vnus ex his amore tractus Socratis, quem ipſe nunquam viſu, ſed tantùm auditione vſurpauerat, vt eo familiariter vteretur. Illi propter acceſſum exilienti gaudio, & fores vrbis tantùm non ingreſſo nunciatur Socratem, ad quem venerat, obiiſſe: portam non ampliùs ingreditur, ſed ſepulcrum, in quo erat, ſedulò inquirit, ad quod perueniens, ſermo-

ὅτι αἴτιοι τῇ πόλει ἐγένοντο τοσούτου κακοῦ. προφάσεις δὲ αὐταὶ κατ' αὐτῶν εὑρέθησαν, ἀληθεῖς μὲν γὰρ . . . . . . Ἀθηναῖοι περιῄεσαν μετὰ τὸν θάνατον ἐκ τοῦ οἴεσθαι πάντες εὐθυνούμενοι τῶν γενομένων. ὅτι γὰρ οὐκ ἐχρῆν οὐκ ἀδικοῦντα αὐτὸν κατηγορηθῆναι, μὴ ἀποκτείνεσθαι. τί γὰρ εἰ τὸν Πλάτανον, ἢ τὴν κύνα ὤμνυεν; τί δὲ εἰ διηρώτα ἰδίᾳ καὶ κοινῇ πάντας ἀνθρώπους, ὅτι οὐδὲν εἰδεῖεν, οὔτε δίκαιον, οὔτε καλόν; εἶτα δὲ οἱ νέοι πάντες εἰς ἀκρασίαν, καὶ ἀκοσμίαν ἐτρέποντο ἐν τῇ πόλει, ἀεὶ γὰρ τοῦτον καθόσον οἷον ᾐδοῦντο. ἐκίνησε δὲ αὐτοὺς μάλιστα, καὶ τὸ τοῦ νεανίσκου τοῦ Λακεδαιμονίου πάθος. ἧκε γάρ τις κατ' ἔρωτα Σωκράτους συγγενέσθαι αὐτῷ μὴ προειδὼς Σωκράτην, ἀλλ' ἀκούων περὶ αὐτοῦ. ὡς δὲ ἡδομένῳ αὐτῷ τῆς ἀφίξεως ὄντι ἤδη περὶ τὰς πύλας τοῦ ἄστεος, προσαγγέλλεται, ὅτι Σωκράτης, πρὸς ὃν ἐληλύθοι, τεθνήκοι, ἐς μὲν τὴν πόλιν οὐκέτι εἰσῆλθεν· διαπυθόμενος δὲ ὅπου εἴη ὁ τάφος, καὶ προσελθὼν διελέ-

γετο τῇ στήλῃ, καὶ ἐδάκρυε. καὶ ἐπειδὴ νὺξ κατέλαβεν αὐτόν, κοιμηθεὶς ἐπὶ τοῦ τάφου, ὄρθρου πολλοῦ φιλήσας τὴν ἐπικειμένην αὐτοῦ κόνιν πολλά, καὶ περιασπασάμενος πάσῃ φιλότητι ᾤχετο ἀπιὼν Μεγαράδε. ᾔσθοντο οὖν καὶ τοῦτο Ἀθηναῖοι, καὶ ὅτι μέλλοιεν Λακεδαιμονίοις διαβάλλεσθαι ἐπὶ τοῖς δεινοτάτοις, εἰ ἐκείνων μὲν οἱ υἱεῖς τοὺς παρ' αὐτοῖς σοφοὺς δι' ἔρωτος ποιοῦνται, αὐτοὶ δὲ ἀποκτιννύουσιν. καὶ οἱ μὲν τοσοῦτον διάστημα ἀφικνοῦνται ἰδεῖν Σωκράτη· οἱ δὲ οὐχ ὑπομένουσι παρ' αὑτοῖς ἔχοντες, αὐτοῖς φυλάξαι. χαλεπηνάμενοι οὖν μόνον οὐ διέφαγον τὼ πονηρὼ ἄνδρε ἐκείνω. ὥστε τὴν μὲν πόλιν ἀπολελογῆσθαι, ὅτι αὐτὴ τούτων οὐδὲν δρᾷ, τοὺς δὲ αἰτίους τεθνάναι. ἐκριφέντες οὖν οἷόν τι κοινὸν ἄγος τῶν Ἑλλήνων, μᾶλλον δὲ πάντων ἀνθρώπων, ὤνησαν μὲν ἡμᾶς, ὤνησαν δὲ καὶ τοὺς ἄλλους ταῦτα παθόντες. πάλιν οὖν συνελευσόμεθα Ἀθήναζε, οἱ ἀναξίως ἀνασεσοβημένοι, ὡς τὸ πρόσθεν.

némque cum ipſo conferens, lamentis & lacrymis ſe dedit, & cùm nox interueniſſet, ſomno penes ſepulchrum capto; ſummo mane adiacentem illi puluerem ex corde deoſculatus, affectúque omni, loco conſalutato repetiit Megaram. Hoc itaque perſenſere Athenienſes, & quòd à Lacedæmoniis de atrociſſimis accuſandi eſsent, ſi eorum filij ſapientum, qui Athenis ſunt, amore depereunt, Athenienſes verò eos perdunt. Et hi quidem tantum terrarum dimetiuntur, ſolùm vt Socratem videant: hi verò non ſunt tanti, cùm ille apud eos ſit, vt eum ſibi ſeruent. Quare furore perciti, tantùm non iniquos illos viros dentibus dilaceratos abſumpſere. adeo vt iam vrbs reſponderit, nihil eorum ſe patraſse, & eos, qui mali cauſæ fuêre, occidiſse. Illi itaque veluti Græcorum, immò omnium hominum commune piaculum proiecti, maximo nos, alióſque commodo ſuis malis affecêre. Rurſus itaque Athenas nos, qui vndique indignè excluſi, vagi, & exules erramus, vt antea conueniemus.

Xenophontis. XVIII.

FESTVM, fortunatúmque diem Dianæ, cui nos aram, templúmque in Laconica extruximus, celebrantes, ſiteris ad vos datis ſignificauimus, vt huc accederetis, optimum, ſi vniuerſi; quando id fieri nequit, ex vobis nonnullos ſacrificij conſortes futuros mitteretis; quod eſset nobis pergratum. Hîc ſanè Ariſtippus fuit, eóque prior Phædo, qui natura loci, ædificiorum ſtructura, & præcipuè plantis, quas ego hiſce meis manibus plantaui, ſummoperè delectati ſunt. Nam locus quoque venationi idoneus eſt, adeo vt facultas ſit, quandocunque libuerit, venatibus incumbendi, vt robuſtè ac ſtrenuè, quod amat ipſa Dea, animum feſtorum ſolemnitate relaxemus, referamúſque ipſi gratias, quæ me à barbari Regis manibus, maliſque circa Pontum, ac Thraciam multò illis atrocioribus, cùm iam à tanto terrarum hoſtilium tractu ad portum ſalutis appuliſse videbamur, ſeruauit incolumen. ſi non veneritis, erat nihilominus neceſſarium hiſce vos appellaſse.

Ξενοφῶντος. ιη'.

ΑΓοντες τὴν ὅσιον ἑορτὴν τῇ Ἀρτέμιδι, τῇ ὑφ' ἡμῶν καθιδρυμένῃ περὶ τὴν Λακωνικὴν, ἐπέμψαμεν πρὸς ὑμᾶς ἵνα ἥκοιτε. καλὸν μὲν εἰ πάντες, εἰ δὲ μὴ οἷον, συνθύτας τινὰς ἐξ ὑμῶν πέμψητε, τοῦτο γὰρ κεχαρισμένον ἡμῖν ἐστιν. ἐγένετο δὲ Ἀρίστιππος ἐνταῦθα, καὶ ἔτι πρότερον Φαίδων, καὶ ἐγανύσκοντο τοῦ τόπου, καὶ τῆς ἄλλης δημιουργίας τῶν οἰκοδομιῶν, καὶ ἔτι πρότερον τῶν φυτῶν, ἅτινα αὐτὸς ταῖς ἐμαυτοῦ χερσὶν ἐφυτευσάμην. ἔχει γὰρ ὁ τόπος καὶ θήραν. ὥστε ἔνι ὑμῖν καὶ κυνηγετεῖν, ἵνα μετ' ἀνδρίας· ὅπερ καὶ φίλον τῇ Θεῷ· θαλίας ἄγωμεν, καὶ χάριν εἰδήσωμεν αὐτῇ, ὅτι με ἀνεσώσατο ἄρα ἀπὸ βασιλέως τοῦ βαρβάρου, καὶ τῶν ἔπειτα περί τε τὸν Πόντον, καὶ τὴν Θρᾴκην κακῶν σχεδόν τι μειζόνων, ὅτε δὴ ἐδοκοῦμεν ἤδη σεσῶσθαι ἀπὸ τῆς τοσαύτης πολεμίας γῆς. Εἰ δὲ μὴ ἴητε, ἡμῖν μὲν ἦν ἀναγκαῖον γράφειν ὑμῖν.

πεποίημαι δέ τινα ἀπομνημονεύματα Σωκράτους. ὅταν οὖν μοι δόξῃ εὖ ἔχειν παντελῶς, διαπέμψομαι αὐτὰ καὶ ὑμῖν. Ἀριστίππῳ μὲν γὰρ καὶ Φαίδωνι ἐδόκει ἁρμόδιά τινα εἶναι. προσαγορεύσατε Σίμωνα τὸν σκυτοτόμον, καὶ ἐπαινέσατε αὐτὸν, ὅτι διατελεῖ προσέχων τοῖς Σωκράτους λόγοις, καὶ οὔτε πενίαν, οὔτε τὴν τέχνην πρόφασιν αἰνίττεται τοῦ μὴ φιλοσοφεῖν. καθάπερ τινὲς τῶν ἄλλων, μὴ βουλόμενοι λόγους τε καὶ τὰ ἐν λόγοις ἐξειδέναι τε καὶ θαυμάζειν.

Facta, dictáve Socratis digna mihi viſa, quæ memoria conſeruarentur, ſtylo ſignaui: ea perfecta, abſolutáque ad vos tranſmittam. Ea Ariſtippus, Phædóque minimè inepta cenſuêre. Nomine meo ſaluere iubetote Simona Coriarium, illique plaudite, quod adhuc Socraticis ſermonibus ancillatus addicitur, neque paupertatem, neque artem cauſatur, quæ eum à philoſophandi ratione deterreat, vt aliorum plerique faciunt, qui à ſermonum, & quæ eos conſequuntur, ſcientia, admirationéque abhorrent.

Τοῦ αὐτοῦ. ιθʹ.

Ἧκε, θαυμασιώτατε, παρ' ἡμᾶς· πεποίηται γὰρ ἡμῖν τὸ ἱερὸν τῆς Ἀρτέμιδος μάλα ἀριπρεπές τι. καὶ περιεφύτευσεν ὁ χῶρος, καὶ δύναται ἱερὸς εἶναι, καὶ τὰ ὄντα ἡμᾶς διαβοσκήσει. ὡς γὰρ Σωκράτης ἔλεγεν· εἰ μὴ ἀρκέσει ὑμῖν ταῦτα, ἡμεῖς αὐτοῖς ἀρκέσομεν. ἔγραψα δὲ καὶ Γρύλλῳ τῷ υἱῷ, καὶ τῷ ἑταίρῳ, εἴ του δέοι παρέχειν σοι. Γρύλλῳ δὲ ἔγραψα, ὅτε

Eiuſdem. XIX.

Adi nos, caput amabile. Iam enim fanum Dianæ ereximus, forma adeò venuſta, & pulchra, vt nihil ſuprà. Locum plantis conſeuimus, & iam ſuo iure ſacer eſt. quæ nobis reliqua ſunt, victum ſubminiſtrabunt. Namque vt Socrates dicebat, ſi illa nobis non ſatis fuerint, nos erimus illis ſatis. Scripſi Gryllo filio meo, tuóque familiari, vt tibi, ſi quid opus eſt, exhibeat. Scripſi verò Gryllo, quando

in eum à tenera ætate animum aduerteris, eiúſque te amore teneri aſſerebas. Vale.

ἀπὸ νέου ἐπὶ κομιδῇ ἐς αὐτὸν ἐβάλου, καὶ φιλεῖν ἔλεγες. ἔρρωσο.

XX.

TOLERANTIAM tuam iam pridem noui, maximéque admiratus ſum. Namque & diuitiis, & gloria maior omni vitam agis, & hac tuæ vitæ ratione Athenis adhuc Socratis veluti ſimulacrum aliquod ſuperſtitas. Nos item Thebis iuuenibus iuuandis, quos à Socrate ſermones accepimus, communicantes, operam nauamus. quod nobis, atque familiaribus pergratum eſt.

κ΄.

Τὴν μὲν σὴν καρτερίαν, καὶ πάλαι ᾔδειν, καὶ σφόδρα θαυμάζω. διότι διατελεῖς πλουτὸς ὢν ἐπάνω πλούτου καὶ δόξης, καὶ οἷον δὴ ζῶν βίοις ἀπεικόνισμά τι Σωκράτους περιεῖ Ἀθήνησιν. ἡμεῖς δὲ καὶ αὐτοὶ ἐπιμελούμεθα νέων ἐν Θήβαις, παραδιδόντες αὐτοῖς οὓς ἠκούσαμεν λόγους παρὰ Σωκράτους. ἔστι τε τοῦτο καὶ ἡμῖν, καὶ τοῖς συνοῦσι κεχαρισμένον.

Xenophon Xanthippæ. XXI.

EVPHRONI Megarenſi farinæ chœnicas ſex, drachmas octo, & nouam exomidem exhibui; vt hyberno tempore tibi vitæ neceſſaria non deſint. Hæc itaque accipias, ſcitóque Euclidem, & Terpſionem optimos eſſe, probóſque viros, & tibi, & Socrati amore coniunctiſſimos. Filiis verò, cùm ad nos permeare concupierint, ne impedimento ſis. iter enim Megara vſque neque longum eſt, neque incommodum.

Ξενοφῶν Ξανθίππῃ. κα΄.

Εὔφρονι τῷ Μεγαρεῖ ἔδωκα ἀλφίτων χοίνικας ἕξ, καὶ δραχμὰς ὀκτώ, καὶ ἐξωμίδα καινὴν τὸ χεῖμά σοι διαγαγεῖν. ταῦτα οὖν λάβε, καὶ ἴσθι Εὐκλείδην, καὶ Τερψίωνα πάνυ καλώ τε κἀγαθὼ ἄνδρε, καὶ σοί τε καὶ Σωκράτει εὔνω. ἡνίκα δ᾽ ἂν οἱ παῖδες ἐθέλοιεν παρ᾽ ἡμᾶς ἰέναι, μὴ κώλυε. οὐ γὰρ πόρρω ἐστὶν ἰέναι εἰς Μέγαρα.

τῶν δὲ πολλῶν σοι δακρύων, ὦ 'γαθή, ἅλις. ὀνήσει γὰρ οὐδέν, σχεδὸν δέ τι καὶ βλάψει. ἀναμιμνήσκου γὰρ ὧν ἔλεγε Σωκράτης, καὶ τοῖς ἤθεσιν αὐτοῦ καὶ τοῖς λόγοις πειρῶ ἀκολουθεῖν. ἐπεὶ λυπουμένη παρ' ἕκαστα καὶ σεαυτὴν ἀδικήσεις ὅτι μάλιστα καὶ τοὺς παῖδας. οὗτοι γὰρ οἱονεὶ νεοττοί εἰσι Σωκράτους, οὓς δεῖ οὐ μόνον τρέφειν ἡμᾶς, ἀλλὰ καὶ ἡμᾶς αὐτοὺς αὐτοῖς πειρᾶσθαι παραμένειν· ὡς εἰ σύ, ἢ ἐγώ, ἢ ἄλλος τις, ὅτῳ μέλει τελευτήσαντος Σωκράτους τῶν παίδων, ἀποθάνοι, ἀδικήσονται οὗτοι ἔρημοι γενόμενοι τοῦ βοηθήσοντος καὶ θρέψοντος ὁμολογουμένως. ὅθεν πειρῶ ζῆν αὐτοῖς. τοῦτο δὲ οὐκ ἂν ἄλλως γένοιτο, εἰ μὴ τὰ πρὸς τὸ ζῆν αὐτῇ παρέχοις. λύπη δὲ δοκεῖ τῶν ἐναντίων ζωῇ εἶναι, ὅπου βλάπτονται ὑπ' αὐτῆς οἱ ζῶντες. Ἀπολλόδωρος ὁ μαλακὸς ἐπικαλούμενος καὶ Δίων ἐπαινοῦσί σε, διότι παρ' οὐδενὸς οὐδὲν λαμβάνεις, φὴς δὲ πλουτεῖν, καὶ εὖ ποιεῖς. εἰς ὅσον γὰρ ἐγώ τε καὶ οἱ ἄλλοι φίλοι ἰσχύομεν ἐπικουρεῖν σοι,

Multis prӕterea lacrymis, ô optimum caput, quarum nullus vſus, ſed quӕ nocumento eſſe poterunt, finis ſit. Recogitans enim animo, quӕ Socrates diſſerebat, illius moribus, atque ſermonibus, fac ſis tete accommoda; ſin minùs frequentes tibi dabis ӕrumnas erga teipſam ac filios quàm maximè iniuſta. Hos ſiquidem veluti pullos Socratis non ſolùm alere, ſed etiam illis totis viribus per longum tempus nos conſeruare debemus: ne ſi, aut tu, aut ego, aut alius quiſpiam, cui Socrate extincto Socratis filiorum cura incumbit, vita exceſſerit, pueris adiutore, eóque, qui alimenta ſine dubio ſubminiſtraret, ſpoliatis, iniuria, ac damnum fiat. Quare ipſis te diuturnam conſerua, quod aliter non fiet, nî tibi vitӕ opportuna exhibeas. Mœror verò ex his eſſe videtur, quӕ vitӕ aduerſantur, cùm & viuentes ab eo afficiantur incommodis. Appollodorus cognomine Manicus, & Dio te commendant, quòd nihil à quoquam accipias; quin imò dicis te diuitiis abundare. optimè factum. Donec enim mihi, ac amicis reliquis facultas dabitur,

nullo alieno ſubſidio indigebis. Bono itaque eſto animo, Xantippe, neque ex Socraticis bonis aliquid demittas, gnara virum illum magnum quippiam nobis adfuiſſe, quem qualis vixerit, non vt mortem oppetierit, attentè conſidera. At ego & mortem illius magnam, & deſiderabilem contigiſſe, mihi autumo; ſi quis, vt conuenit, rem ipſam examinet. Vale.

δεήσῃ οὐδενός. θάῤῥει οὖν, ὦ Ξανθίππη, καὶ μηδὲν καταβάλῃς τῶν Σωκράτους καλῶν, εἰδυῖα ὡς μέγα τι ἡμῖν ἐγένετο οὗτος ὁ ἄνθρωπος, καὶ ἐπινόει αὐτὸν ὁποῖα ἔζησεν, μὴ ὁποῖα ἐτελεύτησεν. ἐγὼ μὲν γὰρ οἶμαι καὶ τὸν θάνατον αὐτοῦ μέγαν τε καὶ καλὸν γεγονέναι, εἰ δέ τις καθὸ χρὴ σκοπεῖν, σκοποίη. ἔῤῥωσο.

Xenophon Cebeti, & Simmiæ. XXII.

SERMONE hominum tritum eſt, paupere nihil opulentius eſſe. Nam, vt video, per vos amicos, qui mei curam geritis, cùm non multa habeam, multa poſſidere deprehendor. rectéque agitis, quotieſcumque ipſe ſcripſerim, poſtulata ſubminiſtrantes. Commentariorum nullum mihi ſupererat tale, quod aliorum oculos me abſente non vereretur, vt præſentibus vobis intra domus limites, vbi iacebat Euclides, libens, volénſque diſſerebam. Sat mihi notum eſt, amici, ſemel elapſam, ac multorum manibus ſcriptionem obiectam nunquam poſſe recuperari, Plato quippe

Ξενοφῶν Κέβητι, καὶ Σιμμίᾳ. κβ'.

ἮΝ λόγος, ὅτι πένητος πλουσιώτερον οὐδὲν εἴη. κινδυνεύω γὰρ, ὡς ὁρῶ, ὅτι μὴ πολλὰ ἔχων πολλὰ κεκτῆσθαι δι' ὑμᾶς τοὺς φίλους, οἵτινες ἐπιμελεῖσθε ἡμῶν. ποιεῖτε δ' ἂν εὖ, εἰ ὅταν ὑμῖν περί του γράψαιμι, πέμποιτέ μοι. τῶν δὲ συγγραμμάτων οὔπω τι εἶχον τοιοῦτον, ὥστε καὶ ἄλλῳ θαῤῥεῖν δεικνύναι δίχα ἐμοῦ, ὡς παροῦσιν ὑμῖν ἔνδον ἐν τῷ οἴκῳ, ἔνθα Εὐκλείδης κατέκειτο, ἀσμένως ἐλέσχαινον. οἶδα τῶν δὲ δή, ὦ φίλοι, ὡς οὐχ οἷόν τε ἀναλαβεῖν ἐστι τὸ ἅπαξ ἐλθὸν εἰς τοὺς πολλοὺς γράμμα. Πλάτων μὲν γὰρ

δύναταί τι μέγα καὶ ἀπὼν τοῖς λόγοις, ὅθεν ἤδη καὶ περὶ Ἰταλίαν θαυμάζεται καὶ περὶ Σικελίαν πᾶσαν. ἡμεῖς δὲ μόλις ἤδη καὶ ἑαυτοὺς πείθομεν, ὡς ἄξια εἴη ταῦτα σπουδῆς τινος. καὶ οὐχ ὅτι ἐμοὶ μέλει, διότι μέλλοιμι διαπίπτειν περὶ τῆς δόξης τῆς περὶ τὴν σοφίαν. ἀλλὰ περὶ Σωκράτους φροντιστέον, μὴ ἐν ἐμοὶ κινδυνευθῆναι τὴν ἐκείνου ἀρετὴν κακῶς εἰπόντι ἐν τοῖς ἀπομνημονεύμασιν. οὐδὲν τε οἶμαι διαφέρειν, ἢ βλασφημεῖν τινα, ἢ μὴ ἄξια δοκεῖν συγγράφειν τῆς ἀρετῆς περὶ ὅτου συγγράφει τις. ὃ δέος νῦν τοῦτό ἐστιν, ὅ γε νῦν ἡμᾶς ἔχει, ὦ Κέβης τε καὶ Σιμμία, εἰ μή τι ἕτερον δόξῃ ἡμῖν αὖ πάλιν περὶ τούτων. ἔρρωσθον.

etiam abſens mirum quantum in ſermonibus præſtat, quare iam & Italis, & Siculis omnibus ſui admirationem mouit. Nos verò vix nobis ipſi perſuademus, ea tanti eſſe, vt ſtudio aliquo dignentur. Neque ea ſolùm ratione id mihi curæ eſt, ne de opinione ſcilicet, quam à ſapientia comparo, cadam; ſed de Socrate potiſſimùm ſollicitus eſſe debeo, angíque, ne illius virtus, dum ipſe in monumentis malè me geſſerim, in me metipſo periculum faciat. Idémque eſſe exiſtimo calumniis aliquem onerare, & indigna virtute illius, de quo ſcribimus, aliorum etiam ſuſpicione conſcribere. Hic itaque timor nos occupat, Cebes, & Simmia, niſi aliter de his iterùm nobis viſum fuerit. Valete.

Αἰσχίνου. κγ'.

ΟΠότε ἐγενόμην ἐν Συρακούσαις, εὐθέως κατὰ τὴν ἀγορὰν Ἀριστίππῳ ἐνέτυχον· ὁ δὲ λαβόμενός μου τῆς δεξιᾶς παραχρῆμα μηδὲν μελλήσας εἰσάγει παρὰ Διονύσιον, καὶ φησὶν αὐτῷ· ὦ Διονύσιε, εἴ τις ἀφίκοιτο παρὰ

Æſchinis. XXIII.

CVM Syracuſas peruemiſſem, ſtatim mihi in foro Ariſtippus obuiam factus, compreſſa manu dextera, illicò, nulláque interpoſita mora, ad Dionyſium introducit, & infit: ſi quis ædes tuas, ò Dionyſi, peteret,

ret, vt tibi ſtultitiam compararet, nónne hic in te malum inuehat? Annuit ſubitò Dionyſius: Quænam itaque, ſubdit Ariſtippus, in eum molireris? Peſſima, reſpondit. Quid, ſi quis, ait, te conueniret, vt prudentiam impertiretur? Nónne hic tibi ſtatim bona exhiberet? Rurſus fatente Dionyſio: iam verò, dixit, Æſchines hic Socratis familiaris hûc acceſſit, vt te prudentem efficiat; quare & bona tibi apportat, ſi quæ faſſus es in diſſertatione, rata habes, Æſchini benefac. Et ipſe interrupto ſermone, ô Dionyſi, inquam, Ariſtippus hic amicè, admirabilitérque ſe gerit, hac ratione conatus meos adiuuans. At nobis non tanta eſt ſapientiæ copia, ſed quanta nos ab iniuriis inter colloquendum abſtinere doceat. Hac ſententia non indelectatus Dionyſius, Ariſtippum ob iam dicta laudare, & in me bona conferre polliceri, vt in colloquio cum Ariſtippo confeſſus fuerat. Ille itaque Alcibiadem noſtrum audiit, eiúſque lectione delectatus, vt videbatur, exorabat, vt ſi qui alij noſtri dialogi eſſent, ad ipſum tranſ-

σε, ἵνα σε ἄφρονα ποιήσῃ, ἄρα γε οὐχὶ κακά σε ἐργάζεται; εὐθέως ὡμολόγει ὁ Διονύσιος. τί οὖν, ἔφη ὁ Ἀρίστιππος, σὺ τοῦτον ἂν ἐργάσαιο; τὰ κάκιστά γε ἔφη. τί δ᾽ εἴ τις, ἔφη, ἀφίκοιτό σε φρόνιμον ποιῆσαι, ἄρα γε οὐχὶ ἔστιν ἂν ἀγαθά σε εὐθέως ἐργάζοιτο; πάλιν οὖν ὁμολογήσαντος τοῦ Διονυσίου. καὶ μὴν, ἔφη, οὗτος Αἰσχίνης ὁ Σωκράτους γνώριμος ἥκει φρόνιμόν σε ποιῆσαι· ὥστε καὶ ἀγαθά σε ἐργάζοιτο ἄν. εἰ δὲ ταῦτα δικαιοῖς, ἅ τινα ὡμολόγησας μοι ἐν τῷ λόγῳ, Αἰσχίνην εὖ ποίει. κἀγὼ ὑπολαβὼν ἔφην. ὦ Διονύσιε ἐπιεικὲς τι καὶ θαυμαστὸν ποιεῖ Ἀρίστιππος ἐστιν, οὕτω συλλαμβάνων μοι. ἡμῖν δὲ οὐ τοσαύτη ἐστὶ σοφία, ἀλλ᾽ ὁπόση μὴ ἀδικῆσαί τινας ἐν τῇ συνουσίᾳ. ἀγάμενος δὲ τῶν εἰρημένων ἔφη ὁ Διονύσιος, καὶ Ἀρίστιππον ἐπαινεῖν τῶν εἰρημένων, καὶ ἐμὲ εὖ ποιήσειν ἅ τινα ὡμολόγησεν ἐν τῷ πρὸς Ἀρίστιππον λόγῳ. ἐκεῖνος οὖν ἤκουσεν ἡμῶν τοῦ Ἀλκιβιάδου, καὶ ἡσθεὶς, ὡς ἐφαίνετο, παρεκάλει, καὶ εἴ τινες δῆλοι εἶεν ἡμῖν τῶν διαλόγων ἀνα-

πέμψαι. ὑπισχνούμεθα οὖν ταύτην ἡμᾶς, ὦ ἄνδρες φίλοι τε καὶ ἑταῖροι, ἀφιξόμεθά τε διὰ ταχέων. ἀναγινώσκοντος δέ μου παρῆν Πλάτων, ὀλίγου δέω ἔπαθον γράψαι ὑμῖν, καὶ ἐδόκει αὐτῷ ἰδίᾳ περὶ ἐμοῦ διαλέγεσθαι διὰ τὸν Ἀρίστιππον. ἔφη γάρ μοι ὡς τοῦ Διονυσίου ἀπηλλάγη. ὦ Αἰσχίνη τούτου παρόντος τοῦ ἀνθρώπου· ἔλεγε τὸν Ἀρίστιππον· οὐδὲν οὐδαμῇ ἔγωγε ῥᾳδίως ἐθέλω λαλεῖν. Διονύσιος μέντοι μαρτυρήσει μοι ἅττινα ἐγὼ εἶπον περὶ σοῦ. καὶ ὁ Διονύσιος τῇ ὑστεραίᾳ ἐν τῷ κήπῳ πολλ' ἄττα ἐμαρτύρει τῷ Πλάτωνι, ὡς εἰρηκότι περὶ ἐμοῦ. τῆς μέντοι παιδιᾶς τῆς πρὸς ἀλλήλους· παιδιὰν γὰρ αὐτὸ χρὴ λέγειν· παρεκάλουν αὐτοὺς παύσασθαι τόν τε Ἀρίστιππον, καὶ τὸν Πλάτωνα διὰ τὴν πρὸς τοὺς πολλοὺς δόξαν. οὐ γὰρ καταγελαστότερα ἔτι ἔχοιμεν ἄν, ἀλλ' ἄττα πράττοντες, ἢ τοιαῦτα ἐπιδεικνύμενοι.

Πλάτωνος. κδ'.

ΟΥπω μὲν εἶχον τούτων τι πέμπειν εἰς Συρακούσας,

mitterentur. Nos promiſimus: ideóque, ô amici, & ſocij, breui ad vos accedemus. Cùm lectioni incumberem, adſtabat Plato; parùm verò abfuit, quin hæc ſilentio præterirem, & priuatim, vt apparebat, de me propter Ariſtippum Dionyſium alloquebatur. Nam, cùm ſeceſſiſſet à Dionyſio, affirmauit mihi, illo homine præſente (ſubintelligebat autem Ariſtippum) nihil vſquam facili negotio loqui ſe velle; verùm teſtem adfuturum Dionyſium eorum, quæ ipſe de me retulerat. Dionyſius die ſubſecuta in horto fidem ſuam dicto allegabat, Platonem dumtaxat de me ſermonem habuiſſe. Mutuis itaque iocis, iocus enim res illa dicenda eſt, Platonem, & Ariſtippum propter eorum iam in multos gloriam diffuſam, vt finem ponerent, adhortabar. Ridiculoſiſſimum enim eſſe iudico, ſi præter quæ publicè profitemur, diuerſa facere deprehendamur.

Platonis, XXIV.

NIhil mihi eorum, quæ ſcribis Archytam abs te expetiiſſe ſuppetebat, vt ad te

Syracuſas mitterem. quàm citiſſimè, & breui mittam. Philoſophia verò neſcio quid in me actutum egit, prauúmne, an bonum? cùm ego multorum conſuetudinem abhorream, & iure merito, vt exiſtimo, quando in omni ſtultitiæ genere deerrant, ſiue qui priuatis rebus conſulunt, ſiue qui publicas tractant. At ſi id præter rationem mihi accidit, id ſcias velim, vix aliter vitam traducere, immò neque alia ratione potuiſſe reſpirare. Quare ex vrbe, veluti belluarum carcere, aufugi, & non longè ab Epheſtiadibus, & locis vicinis moras protraho: vbi comprehendi Timonem neutiquam odio generis humani congreſſus hominum fugiſſe; verùm cùm homines non inueniret, non poterat belluarum amore teneri. Hinc ſolus per ſemetipſum, fortè etiam cum proprio exiſtimationis diſcrimine, vitam agebat. Tu tamen, vt tibi videtur, rem expende. Mea enim illa ſententia eſt, longè ab vrbe, & nunc, & futuris temporibus, quibus Dei munere nobis conceſſa fuerit, commorantem ætatem exigere.

ὧν ἔφης Ἀρχύτην δεηθῆναι λαβεῖν παρὰ σοῦ· τάχιστον δὲ καὶ οὐ διὰ μακροῦ πέμψομέν σοι. ἐμοὶ δὲ φιλοσοφία οὐκ οἶδ' ὅτι ποτὲ χρῆμα γέγονεν; ἆρά γε φλαῦρον ἢ καλόν, ὁπότ' ἐγὼ μισῶ νῦν συνεῖναι τοῖς πολλοῖς. οἶμαι μὲν οὕτω ὡς δικαίως διακεῖμαι, ἀμαθαίνουσι δὲ κατ' ἰδέαν πᾶσαν ἀφροσύνης, οἵ τε ἰδίᾳ τι ποιοῦντες, καὶ οἱ τὰ κοινὰ πράττοντες. εἰ δὲ ἀλόγως τοῦτο πάσχω, οὕτως γε ἴσθι ὅτι μόλις αὖ τοῦτο ἐγίνετό μοι ζῆν· ἄλλως δὲ οὐκ ἐνῆν μοι ψυχῆς λαμβάνειν. διὸ δὴ ἐκ τοῦ ἄστεος ἀπηλλάγην ὥσπερ εἱρκτῆς θηρίων, διατρίβων μέντοι οὐ μακρὰν Ἐφεστιάδων, καὶ τούτων τῶν χωρίων, καὶ συνέγνων ὅτι Τίμων οὐκ ἦν ἄρα μισάνθρωπος, μὴ εὑρίσκων μέντοι ἀνθρώπους, οὐκ ἠδύνατο θηρία φιλεῖν. ὅθεν καθ' ἑαυτὸν καὶ μόνος διεβίου, κινδυνεύων δὲ τυχὸν ἴσως, μήδ' ἐκείνοις εὖ λογίζεσθαι. σὺ δὲ ἐκδέχου ὅπως βούλει. ἐμοὶ γὰρ ὧδε τὰ τῆς γνώμης ἔχει ἄποθεν εἶναι τοῦ ἄστεος εἴς τε νῦν, καὶ τὸν δῆλον ἅπαντα χρόνον, ὅντινα ἂν ζῆν ὁ Θεὸς ἡμῖν διδῷ.

Φαῖδρος Πλάτωνι. κε΄.

Γράφεις μοι ὡς λυπεῖν με μὴ θέλων ἀπεκρύψω, ὅτι μέλλεις ἄρα πορρωτέρω ἀποδημεῖν. καὶ αὐτὸς δὲ ἄρχομαι ποθεῖν σε νὴ τὸν Δία τὸν Ὀλύμπιον. ἀλλὰ πρὸς Διὸς φιλίου τε καὶ ἑταιρείου, ὦ Πλάτων, καὶ τοῦ εἴτε κατὰ γῆν ἐν εὐσεβῶν χώρᾳ ὄντος, εἴτε κατ' ἄστρα, ὅπερ καὶ μάλα πείθομαι Σωκράτους, μὴ περιίδῃς ἡμᾶς ἀπαιδεύτους εἰς τέλεον γενομένους. ἀλλ' ἵνα ἣν ἥντινα προκοπὴν ἔχομεν ἐπ' ἐκείνου τοῦ δαιμονίου ἀνθρώπου, ταύτην σὺ σώσῃς, καὶ ἐπὶ τὸ ἀγάγῃς τέλος. ἐμοὶ γὰρ ἥδιον φιλοσοφίας οὐδέν, καὶ τῶν ἐν φιλοσοφίᾳ λόγων. ἐτιθηνήθην γὰρ ἐκ νέου ἔτι πάλαι Σωκρατικοῖς ὡς ἄν τις εἴποι βαυκαλήμασιν ἐν παντὶ ἁρμοδίῳ, καὶ ἱερῷ τόπῳ· τοῦτο μὲν ἀκαδημίᾳ, τοῦτο δὲ λυκείῳ τε καὶ Ἰλισσῷ ὑπὸ τῇ θείᾳ πλατανίστῳ ἐνισταμένης μεσημβρίας, ἵνα Λυσίας ὁ Κεφάλου τὰ περὶ ἔρωτος διωρθοῦτο. ἐν δὴ τοῖς πιστοῖς χωρίοις περιάγων τε καὶ περιαγόμενος ἀρετῆς τῆς ἀφ' ὑμῶν ἐμπιμπλάμην·

Phædrus Platoni. XXV.

SCRIBIS, quòd me nolles mœrore afficere, peregrinationem tuam ad partes longiores tacuiſſe: & ipſe per Iouem Olympium, iam tui deſiderio incenſus angor. Sed per Iouem Philium, & ſocialem, Plato, pérque Socratem, ſiue ille ſub terris, in piorum caſtris ſit; ſiue inter ſidera, quod & certiſſimum duco, collocatur; ne nos rerum omnium, & diſciplinarum ignaros poſthac negligas. Sed, ſi quid per diuinum illum Virum profecimus, illud nobis conſerua, & vt potes, perfice. Mihi ſanè neque Philoſophia, neque ex ea promanantibus ſermonibus, iucundius quippiam acciderit. Nam à prima iuuenta, multis abhinc annis, Socraticis lenimentis, quaſi nutricum cantiunculis, in omni loco apto, ſacróque, partim in academia, partim in lyceo, & Iliſſo, ſub diuina illa Platano, vrgente meridie, vbi Lyſias Cephali filius, de amore commentarios corrigebat, enutritus ſum. In hiſce itaque locis circumferens, circumlatúſque virtute, quæ à vobis effluebat, implebar:

non ſine Alcibiadis Cliniæ filij, aliorúmque nonnullorum adoleſcentum, qui apud vos doctos primas ſibi ſedes occupabant, inuidentia: & vos nunquam me prodidiſtis: adeò philoſophicarum rerum ſcientiæ ſtimulis ſemper agitabar.

Platoni. XXVI.

CRETENSES, qui venerunt ex Ægypto, Viri probi, nunciarunt nobis te Ægypto vniuerſa perluſtrata, nunc in præfectura Saïtica commorari, ex ſapientibus illis ſciſcitantem, quam ipſi de Vniuerſo ſcientiam ferant. An ab aliquo factum ſit, & an hoc tempore ratione quadam ſecundùm vnam partem, & ſecundùm omnes motum vniuerſum peragat. Tradunt illos non ita facilè cum Græcis in ſermonem venire, quicquid ipſi cauſentur, niſi id afferant, ſermones de Natura, Geometria, & Numeris Heliopoli Pythagoræ communicaſſe, ab eóque, vt in hiſtoria refertur, fuiſſe illuſos. Fabularum ſiquidem, quæ de Pythagora produntur, cùm

καὶ τοῦ ἐπιφθόνου Ἀλκιβιάδη τε τοῦ Κλεινίου, καὶ τισὶν ἄλλοις τῶν νέων, οἳ μᾶλλον ἐβούλοντο ἐμοῦ προεδρίας ἀξιοῦσθαι παρ' ὑμῖν τοῖς σοφοῖς, καὶ οὐδέ ποτέ με καταπροέδοτε τῷ ὄντι ἐρασθήσων φιλοσοφίαν ἐδίψων εἰς τὸ πάμπαν.

Πλάτωνι. κϛ΄.

ΟΙ ἀπ' Αἰγύπτου ἀφικόμενοι Κρῆτες ἀγαθοὶ ἄνδρες ἀπήγγελον ἡμῖν, ὅτι τὴν πᾶσαν Αἴγυπτον περισκεψάμενος νῦν διατρίβεις περὶ τὸν Σαϊτικὸν νομὸν λεγόμενον, ἐκπυνθανόμενος τῶν ἐκεῖ σοφῶν, ὅπῃ αὐτοῖς φαίνοιτο τὰ περὶ τοῦ σύμπαντος, εἴ τῳ ἐγένετο, καὶ ἐν λόγῳ νῦν τὴν πᾶσαν κίνησιν ἔχει κατὰ μέρος, καὶ κατὰ τὸ ὅλον. δυσκόλως δέ φασιν αὐτοὺς τοῖς Ἕλλησι διαλέγεσθαι, ὅτῳ δήποτε οὖν παθήματι χρωμένους, εἰ μὴ ὅσον γοῦν Πυθαγόρᾳ ἐκοινώνησε τοὺς λόγους, τοὺς περὶ φύσεως, καὶ γεωμετρίας, καὶ ἀριθμοὺς περὶ Ἡλιούπολιν. καὶ τούτῳ γ' οἶμαι στρατηγησαμένῳ αὐτούς, ὥς τινες ἱστοροῦσιν. μέμνηται γὰρ τῶν μύθων τῶν περὶ Πυθαγόραν, τῶν ἱκα-

τὰ περὶ Αἴγυπτον διηγεῖτο ἡμῖν, Τίμαιός τε καὶ Θεόδωρος ὁ Κυρηναῖος, εἴτε καὶ ἄλλως ἐπελθὼν αὐτοῖς οἰκειωθῆναι. εἰ δὲ καὶ σοὶ ὑγιῶ, καὶ τὰ οἴκοι Ἀθήνησι πάντα κατὰ Θεὸν ἔχει. ἐπίστελλε δὲ ἡμῖν καὶ πάλιν σύ, ὅπως διάκεισαι τοῦ σώματος, ὡς τά γε τῆς ψυχῆς τότε ἴσμεν ὑγιᾶ διά τε φρόνησιν καὶ ἀρετήν. καὶ εἴ του δέοιο τῶν σῶν γράφε ἡμῖν. τὰ γὰρ ἐμά, ὦ Πλάτων, σά φημι εἶναι δίκῃ ἁπάσῃ, ὥσπερ καὶ Σωκράτους ἦν. Σημαίνοις δὲ ἡμῖν περὶ τῶν ἐγχωρίων θεαμάτων, καὶ τῆς περὶ ταῦτα μεγαλουργίας, τομάς τε λίθων, τὰς εἰς ἄπλετόν τι μέγεθος ἐπηρμένας, καὶ ἐργασίας αὐτῶν, ἀνδρεικέλους τε καὶ εἰς τὰ ἄλλα ζῶα ἀπεσχηματισμένας τέχνῃ παλαιᾷ, καὶ οὐκ εἰς τὸν τρόπον τὸν Ἑλληνικόν· καὶ ἃ τῶν ἄλλων πάλιν τεχνημάτων πολυμόρφων ζωδίων ἐπιδείκνυται, τὴν ἰδίαν φύσιν, καὶ ἄσκησιν ἀκεκτονοίαν τῆς ἐπινοίας τῆς ἐν τοῖς γινομένοις. ἄσμενος δ' ἂν καὶ αὐτὸς τῶν Πυραμίδων κατεῖδον τὸ μέγεθος, καὶ τὴν Μέμφιν,

res Ægyptias nobis enarrant, meminêre Timæus, & Theodorus Cyrenæus: ſiue etiam alio conſilio inter eos peruagatus in familiaritatem adſcitus eſt. Si verò tibi benè eſt, domi etiam omnia, ita annuente Deo, proſpera ſunt. Porrò tu crebris nos litteris admone, vt corpore valeas, nam animum tuum propter prudentiam, & virtutem benè valere iam ſcimus. Si quæ tibi rerum tuarum opus eſt, ſcribito nobis. Mea quippe, Plato, tua eſſe, & iure merito, confiteor ea ratione, qua & Socratis erant. Loci etiam iſtius ſpectacula, & circa ea operis præſtantiam, & magnificentiam, exciſóſque lapides, & in immenſam molem ſublatos, eorum formas, ſiue homines, ſiue alia animalia vetuſta arte, & præter Græcorum modum efformata præſeferunt; rurſúmque alia opificia, & complurium animalium formas, quæ propriam naturam repræſentant, exercitium, ac vaſtum in opere perficiendo factoris ingenium oſtendentes; nobis adamuſſim ſignificabis. Libenter etiam ipſe inſanam Pyramidum ſubſtructionem, Memphimque oculis;

auribus verò vſurpaſſem ſermonem ſacrum, & perpulchrum Nili conſpectum; dum tu percurris Ægyptum, illiúſque plemmyrio vndoſo, ac reciproco receſſu alio, atque alio tempore conſiſtis, ac retardaris. Hæc enim omnia ſupra omnem fidem dicta eſſe exiſtimo, quæ apud multos ita magnifica ſunt, & propter ſui aſpectum deſiderabilia.

Ariſtippus. XXVII.

LITERAS ad me tuas Teleus reddidit, quibus impensè precaris, vt quàm citiſſimè Cyrenem aduolem, quòd non ſuccedunt ex animo res tuæ, Præfectorum cauſa, & Vir tuus verecundia impeditus, ſuetúſque longè à ciuilibus tumultibus vitam agere, domeſticas res adminiſtrare minùs idoneus ſit. Cùm tētaſſem, vt à Dionyſio mihi facultas daretur ad te nauigādi, naturæ neceſſitate quadam, & vi iter interrumpente in Lipara inſula morbo, ægritudinéq. ſum afflictatus, quādo & Sonici familiares optimā mihi nauarunt operam, prouidè me procurantes, & illis humanitatis officiis, quæ orco proximus ab amicis poterat expectare.

καὶ αὐτήκοος ἐγενόμην τοῦ ἱεροῦ λόγου, καὶ τῆς παγκάλης τοῦ Νείλου θέας, αἳ διερχομένου σε τὴν Αἴγυπτον, καὶ ἐπισχόμενα τῇ πλημμυρίδι κατὰ τὴν ἑτέραν ὥραν, καὶ τὴν εἰς τὸ πάλιν ἀπόρροιαν αὐτοῦ. ταῦτα γὰρ πάντα εἰς τὸ ἄπιστον λεχθῆναι ἂν νομίζων, ἃ παρὰ τοῖς πολλοῖς οὕτω μεγάλα ἐστὶ καὶ ἀξιέραστα τῆς ὄψεως.

Ἀρίστιππος τῇ . . . κζ.

ΕΚομισάμην περὶ σοῦ γράμματά μοι πεμφθέντα διὰ Τηλέα, ἐν οἷς ἐδέου με παραγενέσθαι ὡς τάχιστα εἰς Κυρήνην, λέγουσα οὐκ εὖ σοι ἀπαλλάττεσθαι, οὔτε περὶ τῶν ἐπισκόπων, οὔτε ἱκανὸν εἶναι οἰκονομῆσαι τὸν ἄνδρα, αἰδῶ τε ἔχοντα, καὶ θορύβων πολιτικῶν ζῆν μακρὰν εἰθισμένον. ἐγὼ δὲ πειρώμενος ὡς ἂν ἀφεθείην ὑπὸ Διονυσίου πλεῦσαι πρὸς σέ, ἐμποδών μοι τοῦ χρεὼν στάντος ἐν Λιπάραις μαλακῶς ἔχον. ὅτε δὴ καὶ τοὺς περὶ Σώνικον ἄριστά μοι προσφερομένους ἐνόησα, τημελοῦντάς με γνησίως, καὶ ὡς ἐν ἅδου τοῖς ἀρκέσαι· ὥστε ζῆν τὴν διάθεσιν φιλικήν.

περὶ ὧν δὲ τοὺς ἔκρινας τίνα ἐξῆς τιμὴν ὑπ᾽ ἐμοῦ ἠλευθερωμένοις, οἵ τε ἔλεγον Ἀριστίππου μὴ ἀποχωρήσειν, ἕως ἂν αὐτοῖς ἡ δύναμις ἀρέσκειν ἐκείνῳ τε καί σοι πάντα· σὺ αὐτοῖς πίστευε. περιέσται γὰρ αὐτοῖς ἐκ τῆς ἐμῆς βιωτῆς μὴ εἶναι κακοῖς. ὑποτίθεμαι δέ σοι τὰ πρὸς ἄρχοντας οἰκονομεῖν, ὥστε τὸ ἐμὸν συμβούλευμα τοῦτο συμφέρειν. τοῦτο δὲ ἦν μὴ τοῦ πλείονος ὀρέγεσθαι. ῥᾷστα γὰρ οὕτως διάξεις τὰ κατὰ τὸν βίον, ὑπεροπτικὴ πάντως οὖσα τοῦ πλέονος. οὐ γὰρ δὴ τοσοῦτον ἐκεῖνοί σε ἀδικήσαιεν, ὥστε σε ἐνδεᾶ γενέσθαι. οἱ δύο μὲν γάρ σου κῆποι μένουσιν, ἱκανοὶ ὄντες καὶ πολυτελεῖ βίῳ. τὸ δ᾽ ἐν τῇ Βερνίκῃ κτῆμα καὶ μόνον καταλειφθὲν πρὸς ἀρίστην διαγωγὴν οὐχ ὑπολείψει. τὸν μικρὸν ἡμῶν οὐ παρακελεύομαι καταφρονεῖσθαι, ἀλλὰ μὴ ἐπὶ μικροῖς ταράττεσθαι, ἔνθα οὐδὲ ἐπὶ μεγάλοις καλὸν ἡ ὀργή. εἰ δέ μου διαλυθέντος ὑπὸ τῆς φύσεως στῆσαι ἐμὸν βούλημα ζητεῖς, ὡς ὅτι κράτιστα παιδεύσασα τὸν Ἀρίστιππον

De eo verò, quod ſcribis, qualem ſcilicet honorem deferre debeas iis, qui à me liberi facti ſunt, & qui contendebant, nunquam ſe Ariſtippum deſerturos, donec ipſis vires ſuppeterent, omniáque illi, tibíque grata facturos, fac ſis ipſis in omnibus credas. Ex mea etenim ſuppellectile id habebunt, ne ſint mali. Tu verò id à me conſilium habeas, benè te cum Principibus gere, vt conſilium meum proficuum ſit, eritque ſi à plurimis aucupandis animum auertas. Rerum etenim ſuperuacanearum poſſeſſionem cõtemnens commodiſſimè ætatem tranſegeris. Neque enim adeò in te erunt iniuſti, vt, demptis omnibus, te mendicantem viuere cogant. Duo namque viridaria, quæ ſuperſunt, & ſplendido, & ſumptuoſo vitæ generi ſuffecerint. Bernicola verò poſſeſſio, ſi vel ſola concedatur, abundè puſillis nobis vitæ commoda, vſúſque ſubminiſtrabit. Non id iubeo, vt deſpicatui aliis ſis, ſed ne pro paruis interturberis, quando & in magnis iracundia non ſit laudabilis. Si verò naturæ ceſſero, auéſque modum cõſilij mei, quàm optimè Ariſtippo inſtructo,

Athe-

Athenas petito, vbi Xanthippam, & Myrto, præ omnibus æſtimato, quæ me ſæpiùs rogarunt, vt te ad myſteria conducerem. Hoc itaque dulciſſimo vitæ modo cum iis vtens, Præfectis Cyrenæis concede, vt ad libidinem vſque iniuſti ſint. Tibi namque in naturali fine iniuriam non inferent. Tui autem illi conatus ſint, vt vnà cum Xanthippe & Myrto viuas ea ratione, qua mihi pergratum eſt cum Socrate viuere, magis ac magis earum ſocietate, vbi faſtus, ac grauitas aliena eſt, teipſam adornando: ſi verò citiùs Tyrocles Socratis filius Cyrenem aduenerit, qui mecum apud Megara conſueſcebat, optimè à te id actum erit, ſi viuendi modulum communicaueris, & illum æquè atque filium tuum honoraueris. Filiam ſi non vis alere, in enutriendis enim pueris, maximis te moleſtiis implicari affirmas, filiolam Euboïdis, quam largè & liberaliter tractaſti, & in mei gratiam meæ matris nomine decoraſti, & ego ipſe etiam ſæpiſſimè illam Amicam compellaui, adhibe. Porrò ante alia paruuli Ariſtippi curam gerito, vt

Ἀθήναζε χώρει Ξανθίππην τε καὶ Μυρτὼ περὶ παντὸς ποιουμένη, αἵ με πολλάκις ἐλιπάρησαν ἐπὶ μυστήριά σε ἄγειν. τὸ δὲ ἡδὺ βιότευμα μετὰ τούτων ἔχουσα, κατάλιπε τοῖς ἐν Κυρήνῃ ἐπισκόποις ὅτι ποτ' ἂν ἐθέλωσιν ἀδικεῖν· σὲ γὰρ οὐκ εἰς τὸ φυσικὸν τέλος ἀδικήσουσιν. πειρῶ δὲ μετὰ Ξανθίππης καὶ Μυρτοῦς ζῆν, ὡς ἐμοὶ φίλον μετὰ Σωκράτους, πλέον τῆς ἐκείνων φιλίας σεαυτὴν στέλλουσα. κεῖθι γὰρ τὸ σοβαρὸν οὐκ ἐπιχώριον. εἰ δ' ἔλθοι θᾶττον ἅμα Τυροκλῆς εἰς Κυρήνην ὁ Σωκράτους, ὃς ἐν Μεγάροις ὡμίλει μοι, ποιήσεις ἄριστα κοινουμένη τὸν βίον αὐτῷ, καὶ μηδὲν διαφορώτερον τοῦ τέκνου τιμῶσα. θῆλυ δὲ τέκνον εἰ μηκέτι τρέφειν βούλει, διὰ τὸ πολλὰ ἀνιᾶσθαι ἐπὶ παιδοτροφίᾳ, τὸ τῆς Εὐβοΐδος θυγάτριον, ὃ δὴ ἐλευθέρως ἦγες, ἐμοί τε χαρίζεσθαι βουλομένη σε τῆς ἐμῆς μητρὸς ὀνόματι· καὶ γὰρ ἐγὼ πολλάκις ἀμίκαν αὐτὸ προσηγόρευσα. πρὸ παντὸς δὲ ἐπισκόπει τοῦ μικροῦ Ἀριστίππου ἐπιμελεῖσθαι, ὅπως

ἄξιος ἡμῶν καὶ φιλοσοφίας, ταύτην γὰρ αὐτῷ καταλείπω τὴν ὄντως κληρονομίαν· τὰ ἄλλα μὲν γὰρ τοῦ βίου, καὶ τοὺς ἐν Κυρήνῃ ἄρχοντας ἔχει πολεμίους. περὶ φιλοσοφίας δὲ οὐδὲ ἕν μοι γέγραφας, ὅτι ταύτην σοῦ τις ἀφήρηται. μέγα οὖν, ὦ ἀγαθὴ γύναι, χαῖρε ἐπὶ τῷ πλουτεῖν πλοῦτον τὸν ὑπὸ σοὶ κείμενον, καὶ κτηματίτην ποίει τούτου τὸν υἱὸν, ὃν ἐβουλόμην μὲν αὐτὸς ἤδη ἐμὸν υἱὸν εἶναι. ἐπειδὴ δὲ ἀναλύω μὴ ἐμπλησθεὶς αὐτῷ, πέποιθα καὶ σοι, διότι τὴν αὐτὴν ἄξεις πορείαν τὴν συνήθη ἀγαθοῖς ἀνδράσι. ἔῤῥωσο, καὶ περὶ ἡμῶν ἀστενάκτει.

Φιλίππῳ. κη'.

ΑΝτίπατρος ὁ φέρων τὴν ἐπιστολὴν, τὸ μὲν γένος ἐστὶ Μάγνης, γράφει δὲ Ἀθήνησι πάλαι τὰς Ἑλληνικὰς πράξεις. ἀδικεῖσθαι δέ φησιν ὑπό τινος ἐν Μαγνησίᾳ. διάκουσον οὖν αὐτῷ τὸ πρᾶγμα, καὶ βοήθησον ὡς ἂν δύνῃ. καὶ προθυμότατα, δικαίως δ' ἂν αὐτῷ βοηθήσεις διὰ πολλὰ, καὶ διό-

nobis dignus, atque Philoſophia, quam illi ſolam, ſed veram, firmámque hæreditatem relinquo, euadat. Reliqua enim vitæ neceſſaria Principes Cyrenæos aduerſarios habent: de Philoſophia verò, nec verbum mihi ſcripſiſti, quòd eam aliquis tibi arripuerit. Delectare itaque ſummoperè, bona mulier, illas poſſidere diuitias, quæ ſub tua poteſtate ſint, quarum filium poſſeſſorem facito, quem vellem ipſe iam meum filium eſſe: ſed quando hac ſpe fruſtratus diſſoluor, confido, eum à te per ſemitam bonis viris familiarem deductum iri. Vale; & de nobis gemitus, ac lamentationes compeſcito.

Philippo. XXVIII.

ANTIPATER, qui ad te litteras affert, genere Magnes, Athenis iam diu Græcorum res geſtas monumentis conſignat; ait porrò ſe à neſcio quo in Magnetia iniuria affici. Dicenti ergo animum aduerte, fertóque ſuppetias pro viribus, & quàm lubentiſſimè illi multis nominibus nauata opera iure merito præſidio eris: ſed eo

præcipuè, quòd cùm inter familiares congreſſus oratio ad te ab Iſocrate miſſa percurreretur, argumentum quidem, ac materiam operis laudauit, ſed in Græciam à vobis collata beneficia ſilentio prætermiſſa fuiſſe, criminis incuſauit. Eorum minimam partem in medium afferam. Iſocrates quippe neque in Græcos abs te, & tuis progenitoribus benefacta palam fecit, neque in te à nonnullis probris obiectis reſpondit, neque ſcriptis ad te datis à Platonis calumniis abſtinet. Et tamen opus erat primùm omnium communem veſtram cum noſtra vrbe coniunctionis neceſſitudinem compertam eum habere, quam poſteris tuis indicaret. Hercules enim, cùm nos lege prohiberemur antiqua, quemquam, nî in familiaritatem eſſet admiſſus, initiare, noſtro more initiari peroptans, in Pelei filios ſe ipſe adoptat. Quod cùm ita ſit, ad te veluti ad ciuem, cùm ab Hercule genus deducas, oratio Iſocratis conuertenda erat: his Alexandri parentis tui, aliorúmque apud Græcos officia, & ſtudia poſita, depræ-

ῷ παρ' ἡμῖν διαγνωσθέντος ἐν διατριβῇ τοῦ σοι πεμφθέντος ὑπὸ Ἰσοκράτους λόγου τότε, τὴν μὲν ὑπόθεσιν ἐπῄνεσε, τὸ δὲ παραλιπεῖν τὰς εἰς τὴν Ἑλλάδα γινομένας εὐεργεσίας ὑμῶν ἐνεκάλεσε. πειράσομαι δὴ αὐτῶν εἰπεῖν ὀλίγας. Ἰσοκράτης μὲν γὰρ οὔτε τὰς εἰς τὴν Ἑλλάδα γινομένας εὐεργεσίας ὑπὸ σοῦ καὶ τῶν σῶν προγόνων δεδήλωκεν, οὔτε τὰς ὑπό τινων κατὰ σοῦ γεγενημένας διαβολὰς λέλυκεν, οὔτε Πλάτωνος ἐν τοῖς πρὸς σὲ πεμφθεῖσι λόγοις ἀπέσχηται. καί τοι χρὴ πρῶτον μὲν τὴν ὑπάρχουσαν οἰκειότητα πρὸς τὴν ἡμετέραν πόλιν αὐτὸν μὴ λαθεῖν, ἀλλὰ ποιῆσαι καὶ τοῖς ἀπὸ σοῦ γινομένοις φανεράν. Ἡρακλῆς γὰρ, ὄντος νόμου τοῦ παλαιοῦ ἡμῖν μηδένα ξένον μυεῖσθαι, βουληθεὶς μυεῖσθαι, γίνεται Πηλίου θετὸς υἱός. τούτου δὲ ὄντος τοιούτου, τοὺς λόγους ἐξῆν Ἰσοκράτει λέγειν ὡς πρὸς πολίτην, ἐπειδὴ τὸ γένος ὑμῶν ἐστιν ἀφ' Ἡρακλέους· μετὰ ταῦτα τὰς Ἀλεξάνδρου τοῦ σοῦ προγόνου, καὶ τῶν ἄλλων τὰς εἰς τὴν Ἑλλάδα γινομένας εὐεργεσίας ἐξ-

ἀγγέλλειν· νυνὶ δὲ ὥσπερ ἀπορρήτους συμφορὰς αὐτῶν καταπεσιώπηκεν. Ξέρξου γὰρ πρέσβεις ἐπὶ τὴν Ἑλλάδα πέμψαντος, γῆν, καὶ ὕδωρ αἰτήσοντας, Ἀλέξανδρος τοὺς μὲν πρέσβεις ἀπέκτεινεν. ὕστερον δὲ στασιαζόντων τῶν βαρβάρων, οἱ Ἕλληνες ἐπὶ τὸ ἡμέτερον Ἡράκλειον ἀπήντησαν, Ἀλεξάνδρου δὲ τὴν Ἀλέου καὶ Θετταλῶν προδοσίαν τοῖς Ἕλλησι μηνύσαντος, ἀναζεύξαντες οἱ Ἕλληνες δι' Ἀλέξανδρον ἐσώθησαν. καί τοι τούτων χρὴ μὴ μόνον Ἡρόδοτον καὶ Δαμάστην μεμνῆσθαι τῶν εὐεργεσιῶν, ἀλλὰ καὶ τὸν ἐν ταῖς τέχναις ἀποφαινόμενον ἐκ τοῦ προέργον. . . . εὔνους δεῖν προσεῖναι τοὺς ἀκροατάς· προσήκει δὲ καὶ τὴν ἐν Πλαταιαῖς ἐπὶ Μαρδονίου γεγενημένην δηλῶσαι, καὶ τὰς ἐξῆς τούτου τὰς τῶν σῶν προγόνων εὐεργεσίας. οὕτως γὰρ ἂν ὁ παρὰ σοῦ γραφεὶς λόγος τῆς παρὰ τῶν Ἑλλήνων εὐνοίας ἔτυχε μᾶλλον, ἢ μηδὲν ἀγαθὸν περὶ τῆς ὑμετέρας βασιλείας εἰπόντος. ἦν δὲ καὶ τὰ παλαιὰ διαλεχθῆναι τῆς Ἰσοκράτους ἡλικίας, τὸ

dicanda, quæ ipſe nunc, quaſi infanda infortunia ſilentio inuoluit. Siquidem Legatos à Xerxe in Græciam miſſos, vt aquam, & terram poſcerent, Alexander perdidit: deinceps tumultuantibus Barbaris, Græci ad noſtrum Heracleium conuenêre, & ab Alexandro Aleæ, Theſſalorúmque proditione Græcis detecta, id contigit, vt ſalui Græci per Alexandrum domum reuenirent. Quorum ſanè beneficiorum, non tantùm ab Herodoto, & Damaſte memoria inculcanda eſt, ſed ab eo etiam, qui in Inſtitutionibus oratoriis tradit, è maiorum virtutibus, ac rectè collatis beneficiis, auditorum beneuolentiam eſſe conciliandam. Præterea & apud Platæenſes ſub Mardonio, aliáque ſubinde tuorum progenitorum benefacta manifeſtanda erant. Sic enim ab eo de te conſcripta oratio Græcorum animos ad beneuolentiam allexiſſet magis, quàm cùm nullum bonum de veſtro regno euulgat. Suberant præterea & alia neutiquam occultanda, Iſocratæa ætate antiquiora, li-

cèt illi neque ætas vegeta, neque robuſta, vt ipſe ait, adeſſet. Poterat item & allatas criminationes, quæ atrociter ab Olynthiis inferuntur, refellere. Quis enim adeò ſtupidus eſt, vt dum Illyricorum, Thracúmque, nec non Athenienſium, Lacedæmoniorum, ac cæterorum Græcorum, & barbarorum prœliis infeſtareris, in Olynthios facere, atque inſtruere te bellum credat? Sed de his ad te in epiſtola prolixioribus ſermonibus agere minimè opportunum videtur. Ea verò, quæ orationis curſum non impediunt, & ab omnibus iam multo abhinc tempore ſilentio inuoluta, & tibi ſcienti proficua eſſe poterunt, non incongrua mihi enarranda videntur, & pro bono nuncio deprecandum, vt iuſtam operam colloces Antipatro. Nam territorium, quod Olynthij poſſident, primis temporibus Heraclidarum, non Chalcidenſium fuiſſe, ipſe qui epiſtolam defert, ſolus & primus omnibus probabili ratione demonſtrauit. Eadem enim ratione tradit, Neleum apud Meſſenios, Dyleum in regione Amphipolitana ab Hercule, veluti iniurios, flagitioſóſ-

δὲ εὐθαλῶς, ὥς φησιν αὐτὸς, ἀνθούσης τῆς διανοίας. ἀλλὰ μὴν καὶ τὰς διαβολὰς ἐκείνου λῦσαι τὰς τὸ πλεῖστον ὑπ᾽ Ὀλυνθίων γινομένας. τίς γὰρ ἂν οὕτως εὐήθης νομίσειεν, ὥστε σοι πολεμούντων Ἰλλυριῶν, καὶ Θρᾳκῶν, ἔτι τε Ἀθηναίων καὶ Λακεδαιμονίων, καὶ ἄλλων Ἑλλήνων, καὶ βαρβάρων, πόλεμον πρὸς Ὀλυνθίους ἐξενεγκεῖν; ἀλλὰ περὶ μὲν τούτων οὐκ ἐν ἐπιστολῇ πρὸς σὲ μηκυντέον. ἃ δέ ἐστιν οὐκ ἐμποδὼν τοῖς τυχοῦσιν εἰπεῖν, ἐκ πολλοῦ τε χρόνου τοῖς πᾶσι κατασεσιώπηνται, συμφέρειν τέ σοι πυθέσθαι, ταῦτά μοι δοκεῖ φράσειν, καὶ τούτων ἀξιώσειν εὐαγγέλια δικαίαν χάριν Ἀντιπάτρῳ παρὰ σοῦ δοθῆναι. περὶ γὰρ τῆς γινομένης Ὀλυνθίοις χώρας, ὡς ἔστι τὸ παλαιὸν Ἡρακλειδῶν, ἀλλ᾽ οὐ Χαλκιδέων, ὁ φέρων τὴν ἐπιστολὴν μόνος καὶ πρῶτος ἀξιοπίστοις μύθοις εἴρηκεν. τὸν αὐτὸν γάρ, φησι, τρόπον Νηλέα μὲν ἐν Μεσσήνῃ, Δυλέα δὲ περὶ τὸν Ἀμφιπολιτικὸν τόπον ὑφ᾽ Ἡρακλέους ὑβριστὰς ὄντας

ἀπολέσθαι, καὶ δοθεῖσαν παρακαταθήκην φυλάττειν. Νέστορι μὲν τῷ Νηλέως Μεσσήνην, Δικαίῳ δὲ τῷ Νηλέως ἀδελφῷ τὴν Φυλλίδα χώραν. ταύτην Μεσσήνην μὲν ὕστερον πολλαῖς γενεαῖς Κρεσφόντην κομίσασθαι, τὴν Ἀμφιπολίτιν Ἡρακλειδῶν οὖσαν Ἀθηναίους καὶ Χαλκιδεῖς λαβεῖν. ὡς δ᾽ αὕτως ὑφ᾽ Ἡρακλέους ἀναιρεθῆναι κακούργους καὶ παρανόμους, Ἱπποκόωντα μὲν ἐν Σπάρτῃ τύραννον, Ἀλκυονέα δὲ ἐν Παλλήνῃ. καὶ Σπάρτην μὲν Τυνδάρεῳ, Ποτίδαιαν δὲ καὶ τὴν ἄλλην Παλλήνην Σίθωνι τῷ Ποσειδῶνος παρακαταθέσθαι. ταύτην τὴν μὲν Λακωνικὴν τοὺς Ἀριστοδήμου παῖδας ἐν ταῖς Ἡρακλειδῶν καθόδοις ἀπολαβεῖν, Παλλήνην δὲ Ἐρετριεῖς, καὶ Κορινθίους, καὶ τοὺς ἀπὸ Τροίας Ἀχαιοὺς Ἡρακλειδῶν οὖσαν κατασχεῖν. τὸν αὐτὸν δὲ τρόπον ἐξαγγέλλειν περὶ τὴν Τορωναίαν τοὺς Πρωτέως τυράννους, Τμῶλον καὶ Τηλέγονον ὡς Ἡρακλῆς ἀνέλοι. καὶ περὶ Ἀμβρακίαν Κλείδην, καὶ τοὺς Κλείδου παῖδας ἀποκτείνας, Ἀριστομάχῳ μὲν τῷ Σίθωνος τὴν Τορωναίαν τηρεῖν προστάξεν, ἣν Χαλκιδεῖς ὑμετέραν οὖσαν

que trucidatos, ac loco depoſiti datam ad conſeruandum. Neſtori Nelei filio Meſſenem, Dicæo Nelei fratri Phyllida regionem, & Meſſenem poſt multas hominum ætates ad Creſphontem perueniſſe; Amphipolitanam, quæ Heraclidarum erat, Athenienſes, & Chalcidenſes occupaſſe. Eodem modo ab Hercule Hippocoonta Spartæ, Alcyoneum Pellenes ſceleratos, ac nefarios Tyrannos obtruncatos; & Spartam Tyndareo, Potydæam, ac reliquam Pellenes regionem Sithoni Neptuni filio depoſuiſſe. Laconicam verò in Heraclidarum regreſſibus Ariſtodemi filios recuperaſſe; Pallenem Eretrienſes, atque Corinthios, Achæóſque, qui Troia venerant, Heraclidarum cùm eſſet, ſibi ſubegiſſe. Similiter de Proeti filiis Tmolo, & Telegono circa Toronæam enunciat, eos dumtaxat ab Hercule occiſos, & in Ambracia Clide, Clidiſque filiis interemptis, Ariſtomacho Sithonis filio, vt Toronæam ſeruaret, impoſuit; quam Chalcidenſes, cùm veſtra eſſet,

habitarunt: nec non Ladicæ, & Charattæ Ambracicam regionem impertiſſe, eo animo, vt ſucceſſoribus à ſe natis depoſita redderent. Quinimmò & vicinas Alexandri Hedonorum regionis poſſeſſiones Macedones omnes ſciunt. Et hæc dicta ſunt, non vt vellicemus Iſocratem, nec vt orationis ſtructuram reprehendamus, ſed vt oſtendamus adhuc ſupereſſe argumenta, quæ tuo dominatui prodeſſe poterunt. Quando verò & ad Amphictyonum res, vt videris, ſtudium adhibes, mihi in animo eſt, ex eodem Antipatro in medium afferre, quanam ratione, & ex quo fonte Amphictyones ipſi primùm promanarunt, & quomodo Amphictyones cùm eſsēt Phlegyę ab Apolline, Dryopes ab Hercule, Criſſæi ab Amphictyonibus deleti ſunt. Hi ſiquidem omnes Amphictyones ſententia ferenda ſpoliati ſunt: qui verò illis in ſententia pronuncianda ſucceſſêre, ſummum Amphictyonum gradum, locúmque ampliſſimè aſſecuti ſunt, quorum nõnullos imitatus, præmia apud Pythios propter exercitum in Delphos deductũ ab Amphictyonibus tuliſti. Verùm Phocenſiũ calcu-

κατῴκισε. Λαδίκῃ καὶ Χαράττῃ τὴν Ἀμβρακικὴν χώραν ἐγχρήσεν ἀξιῶν ἀποδοῦναι τὰς παρακαταθήκας τοῖς ὑπ' αὐτῶν γινομένοις. ἀλλὰ μὴν καὶ τὰς ὑπογείους Ἀλεξάνδρου τῆς Ἠδωνῶν χώρας κτήσεις Μακεδόνες πάντες ἴσασιν. καὶ ταῦτα ἐστὶν οὐ προφάσεις Ἰσοκράτους, οὐδὲ ὀνομάτων ψόγος, ἀλλὰ λόγοι δυνάμενοι τὴν σὴν ἀρχὴν ὠφελεῖν. ἐπεὶ δὲ καὶ περὶ τῶν Ἀμφικτυονικῶν πραγμάτων δῆλος εἶ σπουδάζων, ἐβουλήθην σοι φράσαι μῦθον παρὰ Ἀντιπάτρου, τίνα τρόπον πρῶτον οἱ Ἀμφικτύονες συνέστησαν, καὶ πῶς ὄντες Ἀμφικτύονες Φλεγύαι μὲν ὑπὸ Ἀπόλλωνος, Δρύοπες δὲ ὑπὸ Ἡρακλέους, Κειραῖοι δὲ ὑπὸ τῶν Ἀμφικτυόνων ἀνῃρέθησαν. οὗτοι γὰρ πάντες Ἀμφικτύονες γενόμενοι τῶν ψήφων ἀφῃρέθησαν. ἕτεροι δὲ τὰς τούτων ψήφους λαβόντες τῆς τῶν Ἀμφικτυόνων συντελείας μετέχον, ὧν ἐνίους σὲ φησι μεμιμῆσθαι, καὶ λαβεῖν ἆθλον Πυθίοις τῆς εἰς Δελφοὺς στρατείας παρὰ τῶν Ἀμφικτυόνων. τὰς δὲ Φωκέων ψή-

φους, ὧν ὁ τὰ παλαιὰ καινῶς, καὶ τὰ καινὰ παλαιῶς ἐπαγγελλόμενος διδάσκειν, λέγει νῦν. οὔτε τὰς ἀρχαίας πράξεις, οὔτε τὰς ὑπὸ σοῦ νεωστὶ διαγωνισθείσας, οὔτε τὰς τοῖς χρόνοις μεταξὺ γενομένας μεμύθευκε. καί τι δοκεῖ τὰς μὲν οὐκ ἀκηκοέναι, τὰς δὲ οὐκ εἰδέναι, τῶν δὲ ἐπιλελῆσθαι. πρὸς δὲ τούτοις ἐπὶ πράξεις σε δικαίας παρακαλῶν ὁ σοφιστὴς, τὴν μὲν Ἀλκιβιάδου φυγὴν, καὶ κάθοδον ἐπαινῶν ἐν παραδείγματι δεδήλωκε, τὰ δὲ μείζω καὶ καλλίω πράγματα τῷ πατρί σου πραχθέντα παρέλιπεν. Ἀλκιβιάδης μὲν γὰρ ἐπ' ἀσεβείᾳ φυγὼν, καὶ πλεῖστα τὴν πατρίδα τὴν αὐτοῦ κακῶς ποιήσας, εἰς αὐτὴν κατῆλθεν. Ἀμύντας δὲ ὑπὲρ βασιλείας στάσει νικηθεὶς βραχὺν χρόνον ὑποχωρήσας μετὰ ταῦτα πάλιν Μακεδονίας ἦρξεν. εἶθ' ὁ μὲν πάλιν φυγὼν αἰσχρῶς τὸν βίον ἐτελεύτησεν, ὁ δὲ σὸς πατὴρ βασιλεύων κατεγήρασεν. παρῄνεσε δέ σοι καὶ τὴν Διονυσίου μοναρχίαν, ὥσπερ προσῆκόν σοι τοὺς ἀσεβεστάτους, ἀλλ' οὐ τοὺς σπουδαιοτάτους

los, qui ſe vetera noua ratione, & recentia ita enunciare profitetur, vt antiquitatem redoleant, facilè diſſimulat; neque res antiquitus actas, neque à te nunc nouiſſimè exantlatas, neque interiecto ſpacio editas enarrauit. Et tamen, vt videtur, earum vna pars ad aures eius, altera ad notitiam non peruenit. Multas etiam obliuione callauit. Ad hæc cùm Sophiſta, nec immeritò, ad facinora te nobilia excitaret, Alcibiadis exilio, ac regreſſu in patriam honorificè prædicato, ea veluti exempla propoſuit, maiora, illuſtrioráque patris tui facta conticuit: Alcibiades enim impietatis conuictus, exilio multatus eſt, plurimíſque incommodis, ac detrimentis à ſe patriam affectam, cuiuis exitiabilis reuiſit; Amyntas regnandi cupiditate inter diſſidia ſuperatus paululum ceſſit: demum Macedoniæ regnum occupat: ille noua fuga turpiter vitam amiſit. Tuus verò pater ad extremam ſenectutem regnum poſſedit. Dionyſij item tyrannidem tibi propoſuit, quaſi illud agere debeas, nequiſſimos ſcilicet, ac improbiſſimos, non probatiſſimos

imitari,

imitari, & peſſimorum eſſe, non iuſtiſſimorum æmulatorem. Et tamen ipſe in Inſtitutionibus tradit familiaria, notáque exempla eſſe afferenda: qui ſui, artiſque oblitus, aliena, turpiſſima, & rei, argumentóque quàm maximè contraria vſurpat. & cùm ſimilia digna, quæ ſibilis, conuiciiſque explodantur, ſcriptis commendat, non illepidè ait, eos ſe diſcipulos pro conuiciis vlciſci, vt ne impunè in eum illuſerint; ipſi verò ab illius familiaribus circumuenti, oratoria præſtantia celebres, cùm nihil vltrà de ſuo addere habeant, ſic orationi plauſum fecêre, vt orationum omnium primas huic orationi detulerint. Porrò breuiſſimè Iſocratis in hiſtoriis ſolertiam, & eruditionem deprehendes, qui Cyrenæos Lacedæmoniorum coloniam facit, & diſcipulum Ponticum ſuæ ſapientiæ ſucceſſorem, ac hæredem præficiet; quo tu licèt multis ſophiſtis congreſſus fueris, nullum inquinatiorem, ſordidioremque vidiſti. Relatum quoque mihi eſt, Theopompum apud vos diuerſantem valdè frigidum iudicari,

μιμήσασθαι, καὶ ζηλωτὴν τῶν κακίστων, ἀλλ' οὐ τῶν δικαιοτάτων γίνεσθαι. καί φησι μὲν ἐν ταῖς τέχναις προσήκειν οἰκεῖα καὶ γνώριμα τὰ παραδείγματα φέρειν. ὀλιγωρήσας δὲ τῆς τέχνης, ἀλλοτρίοις καὶ τοῖς αἰσχίστοις καὶ τοῖς πρὸς τὸν λόγον ὡς ἐναντιωτάτοις παραδείγμασι χρῆται. καίτοι πάντων καταγελαστότατα τοιαῦτα γράφων χαριέντως ἀμύνασθαί φησι τῶν μαθητῶν τοὺς ἐπιτιμῶντας. οἱ δὲ χειρωθέντες τῶν αὐτοῦ πλησιαζόντων ἀκμάζοντες τῆς ῥητορικῆς τῇ δυνάμει, καὶ παρὰ ταῦτα οὐδὲν ἔχοντες εἰπεῖν οὕτως ἐπῄνεσαν τὸν λόγον, ὥστε τὸ πρωτεῖον τῶν λόγων τῷ λόγῳ τούτῳ δεδώκασι. καταμάθοις δ' ἂν ἐν βραχεῖ τὴν Ἰσοκράτους ἱστορίαν καὶ τὴν παιδείαν, ἐξ ὧν Κυρηναίους μὲν ποιεῖ τοὺς ἀκούοντας ἀποίκους Λακεδαιμονίων, τὸν δὲ Ποντικὸν μαθητὴν ἀπέδειξε τῆς αὐτοῦ σοφίας διάδοχον. οὗ σὺ πολλοὺς τεθεαμένος σοφιστὰς βδελυρώτερον οὐχ ἑώρακας. πυνθάνομαι δὲ καὶ Θεόπομπον παρ' ὑμῖν μὲν εἶναι πάνυ ψυχρόν,

περὶ δὲ Πλάτωνος βλασφημεῖν. τοῦτο ὥσπερ οὐ Πλάτωνος τὴν ἀρχὴν τῆς ἀρχῆς ἐπὶ Περδίκου καταςκευάσαντος, καὶ διὰ τέλους χαλεπῶς φέροντος, εἴ τι γένοιτο παρ' ὑμῖν ἀνήμερον, ἢ μὴ φιλάδελφον. ἵνα οὖν Θεόπομπος παύσηται τραχὺς ὤν, κέλευσον Ἀντίπατρον παραναγνῶναι τῶν Ἑλληνικῶν πράξεων αὐτῷ, καὶ γνώσεται Θεόπομπος δικαίως μὲν ὑπὸ πάντων ἐξαλειφόμενος, ἀδίκως δὲ τῆς παρὰ σοῦ χορηγίας τυγχάνων. ὁμοίως δὲ καὶ Ἰσοκράτης, ἐπειδὴ νέος μὲν ὢν εἰς τὸν δῆμον μετὰ Τιμοθέου καθ' ὑμῶν ἐπιστολὰς αἰσχρὰς ἔγραψεν, νυνὶ δὲ πρεσβύτης ὢν ὥσπερ ἑκών, ἢ φθονῶν τὰ πλεῖστα τῶν ὑμῶν ὑπαρχόντων ἀγαθῶν παραλέλοιπεν. ἀπέσταλκε δέ σοι λόγον, ὃν τὸ μὲν πρῶτον ἔγραψεν Ἀγησιλάῳ, μικρὰ διασκευάσας ὕστερον ἐπώλει τῷ Σικελίας τυράννῳ Διονυσίῳ. τὸ δὲ τρίτον τὰ μὲν ἀφελών, τὰ δὲ προσθεὶς ἐμνήστευσεν Ἀλεξάνδρῳ τῷ Θετταλῷ. τὸ δὲ τελευταῖον νῦν πρὸς σὲ γλίσχρως αὐτὸν ἐπηκόντισεν. βουλοίμην δ' ἂν χωρῆσαι τὸ βιβλίον

multiſque obtrectationibus Platonem proſcindere; quaſi non à Platone tempore Perdicæ regnandi initia iacta ſint, ægréque ad exitum vſque Plato tulerit, ſi quid inter vos inhumanum, & quod fraternæ amicitiæ aduerſaretur, contigiſſet. Verùm vt Theopompus ab ingenio illo ſuo aſpero, ac peruicaci aliquid demittat, iube ſis Antipatro, vt Græcorum res geſtas illi percurrat, & Theopompus iuſtè quidem ab omnibus abiici, iniuſtè verò ſibi à te neceſſaria ſubminiſtrari cognoſcet. Similiter & Iſocrates, iuuenis adhuc, vnà cum Timotheo, contra vos epiſtolas probris plenas ad populum ſcriptitabat: nunc ſenex ſiue volens, ſiue inuidentia percitus, res veſtras quamplurimas ſilentio præteriit. Miſitque ad te orationem, quam primùm Ageſilao inſcripſerat: & paucis immutatis, Dionyſio Siciliæ tyranno vænalem exhibuit: tertiùm multis additis, multiſque detractis Alexandro Theſſalo deſpondit: nunc tandem ad te illiberaliter, vt ita dicam, eiaculauit. Vtinam autem libri mihi copia fieret,

vt ab eo tibi in oratione argumenta propoſita examinarem. Ipſe enim fatetur de Amphipoli pacem ſubſecutam impediiſſe, ne de immortalitate Herculis orationem ſcriberet, ſe tamen eam in poſterum conſcripturum. Cùm verò nonnulla propter ætatem molliùs, eneruiúſque, vt idemmet aſſerit, pertractaſſet, ipſe ſibi condonari poſtulat, nec admirari te, ſi in eius lectione Ponticus abiectiorem, & minùs cultam orationem demonſtret: Perſam item quanam ratione profligabis, ſat noſſe affirmat. Adſcriberem reliquas in hanc orationem animaduerſiones, niſi volumen deficeret, eò librorum penuriæ deuenimus, Ægypto à Rege occupata. Vale, & Antipatrum quàm citiſſimè, collata opera, ad nos remittito.

Philippo. XXIX.

PERDICAS manifeſtiſſimo indicio, vt mihi videtur, omnium dimidiam partem poſſidere, quod præceperat etiam Heſiodus, plurimi facit, exiſtimans, opes caſu, & fortuna quo-

ἀναμνῆσαι τὰς ἐν τῷ λόγῳ πρὸς σὲ πεμφθείσας ὑπ' αὐτοῦ προφάσεις. ἐπὶ μὲν γὰρ Ἀμφιπόλεώς φησι κωλῦσαι τὴν γενομένην εἰρήνην γράψαι λόγον ὑπὲρ τῆς Ἡρακλέους ἀθανασίας, ὕστερον δὲ αὐτῷ τοι φράσειν. ὑπὲρ ἐνίων δὲ διὰ τὴν ἡλικίαν ὁμολογῶν μαλακώτερον γράφειν, συγγνώμης ἀξιοῖ τυχεῖν· μὴ θαυμάζειν δὲ, εἰ καί πως ἀναγνῷ ὁ Ποντικὸς ἀμβλύτερον, καὶ φαυλότερον ποιεῖ φαίνεσθαι τὸν λόγον. τὸν Πέρσην δὲ ὡς καταστρατηγήσεις αὐτὸν εἰδέναι σέ φησιν. ἀλλὰ γὰρ τὰς λοιπὰς σκήψεις γράφοντα ἐπιλείποι με τὸ βιβλίον. τοσαύτην ἡμῖν σπάνιν βιβλίων βασιλεὺς Αἴγυπτον λαβὼν πεποίηκεν. ἔρρωσο. καὶ Ἀντίπατρον διὰ ταχέων ἐπιμεληθεὶς πρὸς ἡμᾶς αὐτὸν ἀπόστειλον.

Φιλίππῳ. κθʹ.

ΠΕρδίκας μὲν ἐνδεδεῖχθαί μοι δοκεῖ περὶ πολλοῦ ποιούμενος κατὰ τὸν Ἡσίοδον τὰ ἡμίσεα πάντων κεκτῆσθαι, νομίζων τὰ μὲν χρήματα καὶ διὰ τύχην ἂν τα-

να πολλὰ κτήσασθαι . . . . τῶν βελτίστων εἶναι. Σοὶ δὲ ὅτι ἐστὶν ἀδελφὰ τοῖς παρ' ἐκείνου ὑπηργμένοις πράττειν, ὅπως ἂν δοκῇς καὶ τὸ ἦθος ἀδελφὸς εἶναι τοῦ περὶ σὲ οὐ διανοηθέντος τοιαῦτα. νόμιζε δὲ πάντας προσέχειν σοι τὸν νοῦν, καὶ ποιεῖν ποῖός τε ἔσῃ πρὸς τὸν ἀδελφόν. καὶ τοὺς μὲν βελτίστους ἀγωνιᾶν βουλομένους καὶ ἐξισοῦσθαί σε τῇ τοῦ ἀδελφοῦ ἐπιεικείᾳ, καὶ ὑπερβάλλειν, τοὺς δὲ φαύλους φθονοῦντας ἡδέως ἂν τι ἰδεῖν περὶ ὑμᾶς γενόμενον πλημμελές. οὓς δεῖ νομίσαντα πολεμίους εἶναι μετὰ τῶν βελτίστων ἀγωνίζεσθαι αὐτὸν ὄντα ἕνα τούτων. δοκεῖ γάρ μοι οὐ μόνον σοι ἁμιλλητέον εἶναι πρὸς τὰ τοῦ ἀδελφοῦ ἔργα, ἃ ἐκείνῳ ὑπὲρ τοῦ κοινοῦ πέπρακται, ἀλλὰ καὶ πρὸς τὰς σὰς εὐεργεσίας, ὅπως μὴ καταδεέστεραι αἱ παρὰ σοῦ πρὸς ἐκεῖνον γίνωνται. περὶ πλείστου δὲ δεῖ σε ποιῆσαι σώφρονά τε εἶναι καὶ κατήκοον τοῦ ἀδελφοῦ, ὄντος περὶ σὲ οἷός περ νῦν ἐστιν. ἔρρωσο.

quo modo multas acquirere, præſtantiſſimorum non eſſe. Conuenit verò tibi quàm proximè ad illius facta accedere, vt videaris moribus etiam illius frater eſſe, qui de te ſimilia nec opinatus eſt. Illud præterea cogita, omnes in te animum aduertere, expectaréque qualem te erga fratrem geſſeris. & omnes quidem optimos viros trepidare animo, cùm impendiò vellent, te fraternam manſuetudinem, ac clementiam exæquaſſe, ſuperaréque, peſſimos inuidentes excupere libenter inter vos aliquid delinqui; quibus tanquam hoſtibus abiectis, cum optimis tanquam vnum ex illis certamen debes adire. Ego ſanè exiſtimo non tantùm in fratris facinoribus, quæ illi pro publico peracta ſunt, ſed in beneficiis etiam erga te vires tuas eſſe probandas, ne tua, illorum comparatione, deteriora iudicentur. Ad illud porrò ante alia animum, ſenſúſque attendere debes, vt prudens ſis, fratrémque tuum, dum eumdem, qualem nunc modum ſeruat, ſeruabit, audias. Vale.

XXX.

PEropportvnvm exiſtimabam, nihil ex iis, quæ bona iudicantur, miſſum facere, cùm propter iuſſa Platonis, tum propter amicitiam, quæ mutua neceſſitudine nos coniunctos habet. Ideò mihi viſum eſt ad te literas dare, quibus corpuſculi mei valetudinem indicarem, & quòd pro certo habeam, ſi modò in Academiam acceſſeris, Peripateticorum faſtum compreſſum iri. Hæc autem iuſta, rectáque eſſe, vti potero, exponam. Plato, vt ipſe benè noſti, commercia in Academia haberi ſolita plurimi æſtimabat, aliquid ea conducere ducens, & ad gloriam illibatam, & ad propriam viuendi normam, nec non ad futuram apud poſteros memoriam. Hæc cùm ita ſe haberent, te maximi feciſse vita excedens, teſtimonio ſuo comprobauit. Omnibus ſi quidem nobis familiaribus præcepit, ſi tibi quippiam contigiſset, vt penes ipſum deponeremus, ſic enim, vt illi videbatur, nunquam àb Academia ſeiungereris. Quare & ante omnia ita

λ.

Ἐνόμιζον ἐπιτήδειον εἶναί μοι μηδὲν τῶν καλῶς ἐχόντων παραλιπεῖν, καὶ διὰ τὴν Πλάτωνος ἐντολήν, καὶ διὰ τὴν ὑπάρχουσαν ἐμοὶ καί σοι φιλίαν. καὶ τοι ᾤμην δεῖν γράψαι πρὸς σέ, ὡς διακείμενος τυγχάνω τὸ σωμάτιον, καὶ διότι νομίζω παραγενόμενόν σε εἰς ἀκαδημίαν συνέχειν τὸν περίπατον. ταῦτα δὲ ὡς δίκαιά ἐστι καὶ καλῶς ἔχοντα πειράσομαί σοι φράζειν. Πλάτων, καθάπερ καὶ σὺ οἶσθα, καὶ ἐν τῇ τυχούσῃ τιμῇ τὴν ἐν ἀκαδημίᾳ διατριβὴν ἦγε, νομίζων εἶναί τι καὶ πρὸς δόξαν ὀρθήν, καὶ πρὸς τὸν αὐτοῦ βίον, καὶ τὴν ὕστερον παρ' ἀνθρώποις μνείαν ἐσομένην. καὶ τούτων οὕτως ἐχόντων, διότι σε περὶ πλείονος ποιούμενος ἐτύγχανε τελευτῶν τὸν βίον ἐμαρτύρησεν. ἐπέσκηψε γὰρ πᾶσιν ἡμῖν τοῖς οἰκείοις ἄν τι πάθῃς πρὸς ἑαυτὸν θεῖναί σε, νομίσας οὐκ ἀπαλλαγήσεσθαί σε τὸ παράπαν ἐξ ἀκαδημίας. διὸ δὴ καὶ μάλιστά

μοι φαίνεται σοι προσῆκον εἶναι καὶ ζῶντα, καὶ τεθνηκότα Πλάτωνα τιμᾶν. Θεῶν γὰρ δὴ καὶ γονέων καὶ ἐπιστολῶν ποιητέον ἐπιμέλειαν τῶν χαριέντων. οἰκειοτάτη δὲ τοῖς εἰρημένοις εὑρίσκοιτ' ἂν οὖσα ἡ Πλάτωνος συνουσία πρὸς τοὺς συνόντας. τῶν μὲν γὰρ ὡς γεννήσας, τῶν δὲ ὡς εὐεργέτης ἐπεμελεῖτο. κοινῇ δὲ πρὸς ἅπαντας Θεοῦ τάξιν εἶχεν. συμβουλεύω δὲ καλὸν ἡγούμενος καὶ δίκαιον εἶναι, χάριν ἀποδιδόναι σε Πλάτωνι πασῶν μεγίστην, κἀκείνῳ μάλιστα ἁρμόζουσαν, ἀποδώσεις δ' ἂν εἰ παραγενόμενος τὴν ἀκαδημίαν καθηπερειπε . . . . σοφία γὰρ ἀληθὴς λέγοιτ' ἂν ἔνδικος βεβαιότης καὶ πιστός. προσήκει δὲ ἡμᾶς ἐν τούτοις πολὺ τῶν ἀνθρώπων διαφέρειν. σὺ δὲ καὶ δοκεῖς πλέον τοῦ προσήκοντος ἐπιμελὴς εἶναι.

conuenire iudico, vt quemadmodum viuo, ita & mortuo Platoni honorem habeas. Qui enim gratus eſſe vult, Deorum, & parentum, & mandatorum etiam curam amplecti debet. Opportuniſſima verò, propter iam dicta, Platonis conſuetudo cum familiaribus eſſe deprehenditur. Nam nonnullorum veluti genitor, de aliis quaſi benè meritus curam gerebat, & in vniuerſum erga omnes Numinis loco erat. Itaque bonum exiſtimans, iuſtúmque, vti Platoni gratias omnium gratiſſimas, & vt talem virum decet, referas hortor: referes verò, ſi in Academiam concedens, eam iam nutantem Peripateticorum faſtu ſubleues. Sapientia enim vera dicetur, iuſta, fidáque firmitas. Nos autem ab aliis hominibus quàm maximè differre conuenit. & tu, vltrà quàm par eſt, diligens, ac ſtudioſus videris.

λα'.

XXXI.

Ἔδοξέ μοι γράψαι πρὸς σὲ ἐπιστολὴν περὶ τῶν συμβεβηκότων μοι κατὰ τὸ σωμάτιον. οὐ γὰρ μετρίως ἐκλελοίπασιν αἱ δυνάμεις τῶν μερῶν ἁπάντων.

MIHI viſum eſt hac epiſtola de his, quæ corpuſculo meo contigêre, te certiorem reddere: neque enim vires membrorum omnium moderatè defecerunt:

ſed ita vt labori cuilibet ineptæ omninò ſuccumbant, & ſorte neſcio qua lingua, & capitis partes adhuc perdurant. An non quòd gratæ ſunt, & diuinitatem adamuſſim præſeferunt? Itaque etiam atque etiam vellem, vt adeſſes. Imò rectè facies, ſi vel nunc commigraueris. Rebus enim meis præeris ea ratione, quam ego optimam noui: & his, qui in Peripato verſantur, vti decet, curam geres.

XXXII.

MEVM vtcumque deſiderium, & curam, qua vos continuò, diligentiſſiméque foui, nullum alium ob finem, quàm vt honeſtis in rebus honeſtam quoque gloriam compararem, omni tempore exploratam vniuerſis eſſe opinor. Tantò enim iuſtius eſt, qui in re vera faciles ſunt, & ſimilia agunt, debita gloria decorari. Si corporis principes partes, & caput, quæque in eo ſunt, integrè conſeruantur, benè eſt: reliquis opportunè vnà cum medicis, & ipſe etiam commodum examinans, occurres. Robore verò, fortitudine, ac

ὥστε μηδὲν αὐτοῖς ἐνεργεῖν δύνασθαι· κατὰ τύχην δὲ τινὰ ἡ γλῶττα, καὶ τὰ περὶ τὴν κεφαλὴν μεμένηκεν. εἰ μὴ καὶ διὰ τὸ κεχαρισμένον, καὶ διὰ τὸ θειότατον εἶναι. πάνυ μὲν οὖν ἐβουλόμην παρεῖναί σε. εὖ δὲ ποιήσεις καὶ νῦν παραγινόμενος. καὶ γὰρ τὴν περὶ ἐμὲ προστήσῃ κατὰ τρόπον, ὡς ἐγὼ εὖ οἶδα, καὶ τῶν ἐν τῷ περιπάτῳ ἐπιμελήσῃ προσηκόντως.

λβʹ.

Οἶμαι φανερὰν εἶναι διὰ παντὸς τοῦ χρόνου τὴν ἐμὴν προθυμίαν, καὶ ὅτι πολλὴν πρόνοιαν εἶχον περὶ ὑμῶν, οὐκ ἄλλου τινὸς ἕνεκεν μᾶλλον, ἢ τῆς ἐπὶ τοῖς καλοῖς φιλοτιμίας. τοσούτῳ γὰρ δίκαιον εἶναι τοὺς ὄντας τῇ ἀληθείᾳ ἐπιεικεῖς καὶ πράττοντας τοιαῦτα τυγχάνειν δόξης τῆς προσηκούσης. ὅτι δὲ τὰ κυριώτατα τοῦ σώματος, καὶ τῷ ὄντι ἡ κεφαλή, καὶ τὰ ἐν αὐτῇ περίεστιν, εὖ ἔχει. τῶν δὲ λοιπῶν τὴν προσήκουσαν ἐπιμέλειαν ποιοῦ μετά τε ἰατρῶν καὶ αὐτὸς ἐπιβλέπων τὸ χρήσιμον. ἀνδρία γὰρ καὶ ῥώμη, καὶ

τὰ χείρω διενεγκεῖν δόξειεν ἂν χαρίεντος εἶναι. ἐγὼ δὲ, καθάπερ καὶ σὺ οἶσθα, Πλάτωνα θαυμάσας, δι᾽ ἐκεῖνον καὶ τὴν πόλιν ὑμῶν, καὶ τὴν ἐν ἀκαδημίᾳ διατριβὴν ἠδόμην, καὶ διέμεινα πάντα τὸν χρόνον ἀνέγκλητον ἐμαυτὸν ἐφ᾽ ὅσον ἠδυνήθην πρὸς τὸ ἐκείνου ἦθος διατηρήσας. ἐπεὶ δὲ κατὰ τὰ συμβαίνοντα ἐκεῖνος μὲν ἐχωρίσθη τῆς ἐν ταύταις ἡμῖν συνουσίας, τὰ δὲ νομιζόμενα συνετελέσαμεν, καὶ κοινῇ καὶ ἰδίᾳ τιμῶντες ἐκεῖνον, ἐχωριζόμεθα κατὰ τὰς αἱρέσεις, ἃς ἕκαστος ἡμῶν ἐδοκίμαζεν. ἐγὼ μὲν οὖν ἀεί ποτε καὶ τῇ φύσει παντελῶς οἰκεῖος ὢν ἡσυχίας καὶ σχολῆς ὑπάρχων, ἀνυπόθωός τε ὢν ἀνθρώποις εἰς τὸ δυνατὸν ἠρεμαῖον διαγίνεσθαι. καὶ γὰρ ἐφιλοσόφουν, ὅπως ἐμαυτοῦ τε οἷος ὦ καὶ τῶν ἄλλων ἀνθρώπων διάφορος γένωμαι. δεῖ οὖν φανερὸν γενέσθαι διότι εἰμὶ, οἷος περ φημι. ἀλλ᾽ ὥς γε ἐπεί γε σὺν Θεῷ εἰπεῖν ῥᾴδιόν ἐστιν. ἔρρωσο.

celeritate alios antecellere, gratioſi quidem eſſe videbitur. At ego, ſicuti tu quoque noſti; Platonem admiratus, illius cauſa, & veſtræ me vrbi dedi, & in Academicorum commercia inſinuaui, & ſemper pro modulo meo in illius mores, veluti collimans, memetipſum irreprehenſum ſeruaui. Cùm verò, quod accidere ſolet, ille à noſtra conſuetudine diuulſus eſt, nóſque iuſta, & priuatim, & publicè ſummis honoribus fecimus; quilibet quam probaret, ſectam ſecutus, ab aliis ſeparabatur. Ego itaque perpetuò, & natura quietis, & otij impenſè amans, aliorum reprehenſiones effugiens, cùm homo eſſem, vt poteram, vitam traducere contendebam. Id namque ſpeculabar, quanam ratione me ipſo melior fierem, & aliis hominibus præſtantior. Euulgandum ergo eſt, me talem eſſe, qualem me profiteor; cùm, Dei beneficio, id non difficile ſit. Vale.

λγ'.

λγʹ.

Ἔδοξέ μοι γράψαι ἐπιστολάς, τὴν μὲν ἑτέραν μᾶλλόν τι σεμνυνομένην, τὴν δὲ τῶν κατ' οἶκον εἰθισμένων λέγεσθαι ἔγγιστα. καὶ γὰρ ἐνεθυμήθην, ὅτι δοκοῦσιν ἐνίοτε συμβαίνειν ἀκαιρίαι τῷ λαμβάνειν τὰ ἐπεσταλμένα. ὁτὲ μὲν γὰρ τυγχάνει ἕκαστος ἡμῶν σπουδάζων, ἔστι δὲ ὅτε πρὸς παιδιὰν ἀνειμένος καὶ ἱλαρώτερον ἔχων, παρ' ἣν παρρησίαν ἄγειν ἁπλῶς ἡδόμενος. πρῶτον μὲν οὖν συγχαίρω Συρακοσίοις, ὅτι πέπαυνται τὸν χοῖρον Ἴακχον καλοῦντες καὶ τὸν βοῦν Ἄρυαν, καὶ τὰ ἄλλα τὰ ἡδέα κομψὰ ταῦτα, καρποτόκον τε μῆνα, ὅτι καρπὸς ἐν αὐτῷ γίγνεται. καὶ τὰ εἰς Δελφοὺς πεμφθέντα ἀναγράψαι τὰ σοφά, ἐφ' οἷς ἔοικεν ὁ Ἀπόλλων οὐχ ὡς πατὴρ διατεθῆναι ἀκούσας, καὶ τό τε ἄξιον ἰδὼν τὸ ἐν τῷ Ἱπποδρόμῳ περιτρέχον αὐτόματον. ἀλλά μοι δοκεῖ βουληθῆναι παῦσαι ἀφικνούμενον αὐτὸν τοιαῦτα θεωρήματα. ὀρθῶς οὖν ἔχει ἴσως τῶν καλῶν γινομένους θεοφιλήτους νομίζειν. ἐγὼ δὲ οὔπω σε μιμνήσκω τῆς ἐπιστολῆς ἣν ἔγραψας πρὸς ἐμέ. ὅτι αἴτιος εἴην ἐγὼ τοῦ ἐπιμεληθῆναι τὴν πρᾶξιν ταύτην, καὶ μὴ ἀναθῆναι. καὶ ἔφης καλῶς ποιεῖν, εἰ καὶ αὐτὸς ἀνεγρίμην ἀπορίας καὶ πραγματείας. ἕτερος μὲν οὖν ἄν τις εὐθέως μεμνημένος ἐπιστολὰς ἔπεμπε πρὸς σὲ νῦν, κελεύων ἐκείνων μεμνῆσθαι. ἐγὼ δὲ καιρὸν τηρήσας τότε ἐπιστέλλω. πάνυ δὲ πολλοῦ ἐτιμησάμην ἂν ἀπὸ μηχανῆς θεωρεῖν, πότερον ἐκεῖνο τὸ σχῆμα διατελεῖς ἔχων, ἢ γέγονας ἡμῖν σεμνός τε καὶ αὐθάδης, ὅτι διαλέγεται περὶ σοῦ τὰ παιδία ἐν ταῖς ὁδοῖς, καὶ Πολύξενος ἐν τοῖς πορθασίοις καθήμενος, καὶ οἱ ποιμένες ἐν τοῖς ὄρεσι. τουτὶ δὲ νεανικόν ἐστι καὶ ἀγαπητόν; οὐ δήπου. ἀλλὰ νῦν δείξεις, οἷοι καὶ Δαναοῖσιν μετέασιν ἀριστῆες ἀδικίας τ' ἀνέχοντες. ὅθεν δὴ γέγονε πάντα τὰ καλά. καὶ τὴν ἀκαδημίαν κοσμήσεις, ὥστε κλέος αὐτῆς εἶναι, ὅσον τ' ἐπικίδναται ἠώς. ἐμοὶ δὲ σκέλη μὲν καὶ πόδες φύονται πλείονα ἢ τῷ Γηρυόνῃ. τόν τε γὰρ Φιλιστίωνα ἀποπέμψετε, καὶ ἄλλον ὅσ

ἵνα τὸ ἐμὸν δυνατόν ἐστι τὴν δύναμίν μου αὐξήσετε. ἀπόπεμψον δέ μοι μὲν Μοιρίδος καὶ Ἐχεκράτους πυθόμενος τὰς περὶ Διονυσίου συνουσίας. πάνυ γὰρ ἐξηκόους αὐτὰς οἴομαι εἶναι ἀνδρὸς φόβου κοινώμασι βλαστόντος. ἐπίστελλε δὲ καὶ εἴ που δεῖ ἐπιμελεῖσθαι τῶν ἐνθάδε, ἢ ἰδίᾳ πρὸς τὴν πόλιν, ἢ καὶ εἴ ποθεν ἄλλοθεν συμπαρασκευασάμενος ὡς ἕτοιμοί εἰσιν οἱ τῶν συναπέστελλον ὑμᾶς. γίνωσκε δὲ ὅτι πολλοὺς οἶμαι φανεῖσθαι τοὺς ἑτοίμους ὄντας συνεπιμελεῖσθαι τῶν ὑπαρχόντων, ἐάν σοι φαίνηται τὰ παρ' ἡμῶν κατὰ τὸ προσῆκον ὑφηγούμενα. τὰ δὲ παρ' ἡμῖν ἔχει παραπλησίως, ὥσπερ καὶ ὑμῶν ἐπιδημούντων. ἔῤῥωσο.

λδ'.

Βούλομαί σε μετὰ παιδείας παῤῥησιάσασθαι. ἐπειδὴ καὶ σὺ περὶ ἐμοῦ παρεισβέβληκας τῷ τρόπῳ τούτῳ. λέγω δή σοι οὐ παράπτειν. εἰ ἄρα τοῦτό ἐστι τοῦ χαίρειν ἄμεινον, ὡς οὐκ ἔστιν. ἀλλὰ τοῦ μὴ ἥδεσθαι ὦ Λασθενία, καὶ Σπεύσιππος χρῆται, αἴτιος τοῦ ἐς Σικελίαν στόλου ὁμολογῶν εἶναι, καὶ πλείονας τοῦ Γηρυόνου χεῖρας καὶ πόδας ἕξων, μᾶλλον δὲ τοῦ Βριαρέω, ἐάν σοι Φιλιστίων ὁ ἰατρὸς ἀφίκηται καὶ τἄλλα, ὅσα ἐπὶ τῷ Γαρέτα. περὶ οὖν σὺ ὑμετέρας ἅ τε σοφὸς ὢν ἐξηπατώθης, ὡς ἔγωγε ὠνόμασα. ἅ τε γὰρ οἶμαι ἐν τῷ ἥπατι τῆς Ἑλλάδος κατοικοῦντά σε οὐδὲν λεληθέναι. συνήδομαι δὲ τοῖς Ἀθηναίοις, εἰ μὴ ἀνάγκη αὖθις ἔσται τὴν σοφιστὴν ὁδὸν καλεῖν, μηδὲ τοῖς θεοῖσιν ἐχθροὺς, νεκροῖσι δὲ φίλους ὑμᾶν· μηδὲ τὰ περὶ τοῦ ἀγαθοῦ φενακίσματα θαυμάζειν. μὴ δὲ τὸ ἁμάξιον θεωρεῖν, ἐφ' οὗ σὺ ἐκπορεύῃ, καὶ εἰ μὴ ἀποπορεύῃ, ὅπως μὴ τὰς θύρας ἐμπιπράσης τῶν γειτόνων. μηδὲ καταδείξῃς τὴν τῶν Σατύρων σοφίαν, ἣν πρὸς ἐμέ ποτε συμπίνων ἐν Ἰταλίᾳ ἐπηγγέλλου. μηδὲ ὅτι δένδρα μὲν ἄπλυτά ἐστιν, ἕτερα δὲ συκῆ καὶ μυῤῥίνη καὶ δάφνη, ἐφ' οἷς μέγα φρονοῦσιν οἱ τελεσάθλιοι. ἤδη γὰρ ἐνθουσιάζω τε καὶ ἐπισκοπῶ τὸ θεῖον ὡς ἀδίκημον κακὸν ἐπαρά-

ξατο. κέλευσον δέ μοι Πολύξενόν τε καὶ τοὺς ἑτέρους καὶ τὰ γραΐδια, καὶ τοὺς νομεῖς γράψαι τὰς παρ' ὑμῖν συνουσίας. πάνυ γὰρ οἴομαι αὐτὰς ἀξιηκόους εἶναι ἀνδρὸς Κέκροπος κοινώμασι βλαστόντος. ᾧ σὺ οὐχ ὡς πατρίῳ ἐχρήσω, ἀλλ' ὡς μὴ γράψῃς τὰ ἱερὰ παναπόπληκτος ἐγένου νόσον τε . . . . . . ἵνα δὲ ἐπίσχῃς τὰ κατ' οἶκον ἐπιστόλια εὐτραπέλως γράφων, οὕνεκεν τοῦ εὐκαταφρονήτου ἀργυρειδίου. διόπερ καὶ ὑμεῖς Ἑρμείαν κολακεύοντες τολμᾶτε θεραπεύειν. ἐπὶ δὲ τῶν προοιμίαις τε καὶ τῶν παραβολαῖς, αἷς χαίρετε, τοιοῦτόν τι βούλομαι εἰπεῖν. φασὶ γὰρ Ἴωνάς τινας εἰς Λακεδαίμονα ἀφικομένους ἀσχημονῆσαί τι τῶν οὐκ ἐννόμων. τοὺς ἐφόρους δὲ καὶ γέροντας δεινῶς φιλοτιμηθῆναι, καὶ ἐξευρεῖν αὐτούς. φοβεῖσθαι οὕτω σφόδρα τοὺς ἁλόντας ἐπεὶ ἤγοντο εἰς τὴν ἀγοράν. τοὺς δὲ Λακεδαιμονίους ἀνακηρύξαι ὡδίπως αὐτοῦ κέλονται τοὶ ἔφοροι. καὶ τοὺς μὲν ἰάονες ἔτι πονηροτέρους ἦμεν, καὶ μέχρι μὲν τούτων ἴσασι τί ἴσον ἔχοιμεν. ἐὰν δὲ τὰ ἄλλα σωφρονῇς, κἀγώ σοι συνσωφρονήσω.

λε'.

Ταῦτά ἐστιν ἃ Ἄδραστος παρὰ Κλεινίᾳ ἔλαβεν. ὡς ἐμὶν δὲ δοκεῖ ταῦτα οὐκ ἄξια εἰ μὲν ὑφαμεωνότοις κατυχὼν ῥιπτεῖσθαι τοσοῦτον χρόνον φυλαχθέντα οὕτως ἐμῶν ἕνεκα. οὐδὲ τῷ ἀλαζονικῷ, ἀλλά μοι δοκεῖ ἐμόν τι τυχόντα Μένανδρος νέῳ, καὶ φυλακτικῷ ὑπεροφθέντα κακὸν ῥάψαι τῶν ὑπεροπεπλυσμένα. ὃς διὰ τὴν δύναμιν μὲν φιλοσοφοῦντα τῷ πάθει δὲ μηδὲ τῷ ἤθει. καὶ ὅστις ἄγαν φαμὲν, καὶ ὀργανικῶν, καὶ ἐνυπνίων τῶν πάντα πέπληκεν μεστὸς εἴη καὶ οὐδὲν πραγματωδέστερος, καὶ γένοιτο αὐτὸς αὐτῶν. ὅστις δέ ποτι πάντα φέρεται κοσμηθεὶς ὑποταξιός τινος τῶν τοιούτων ἐννοώτερος, καὶ εἴη τῷ θείῳ. συνοδὸς δέ μοι ἐστὶ κατὰ φιλοσοφίαν, ὡς οὐκ ἄλλο τι οὐδὲν δεῖ λέγειν, ὅτι ἀσπάζομαί του. ἀλλ' ἔρρωσο.

LEONIS ALLATII DE SCRIPTIS SOCRATIS DIALOGVS.

Ad ampliſſimum Iuuenem
BERNARDINVM Cardinalis Biſcij Fratris Filium.

O genialem illam Platanum, ſub qua otium diu oblectantes heri conſedimus! ô garrulos, ac limpidiſſimos riuulos, quibus vim caloris reſtinximus; quos & ſeuera, & iocoſa congreſſione, mutos, attentioréſque reddidimus! Quid illo nobis vnquam die candidius? quid vmbra, quid murmure optabilius? Communitas vna vitæ ac victus, animorum, conſuetudinis coniunctio ſuauiſſima. Doleo te non affuiſſe; id enim ſolum integram genij hilaritatem nobis eripuit. Vt ſcias, narro tibi. Interfuêre primò, quos benè noſti, Viri Philoſophicis artibus, ciuili, moralique prudentia, & vt verbo expediam, vniuerſa litteratura lectiſſimi, Petrus Vallius, Fabius Leonida, Ioſephus Meronus, Andreas Victorellus; agmen tum claudebat Paulus Zacchias noſter. De multis inter eos diſceptatum eſt. Non hîc ediſſeram quanto cum inge-

nij acumine quæſtiones propoſitæ fuerint, nec minore facundia diſſolutæ. Neque ad dicta comprobanda auxilio indigebamus Librorum, cùm abſolutiſsimæ nobis Bibliothecæ ſuppeterent. adeò promptè, ac fideliter ex memoria non paginas ſolùm, ſed integras etiam tractationes ipſis Auctorum verbis recitabant. Et ſanè illi inter ſe concorditer in omnibus conſenſêre: in Epiſtolis tantùm Socraticis, neſcio an animorum contentione, an opinionum diſſenſione, diſcreparunt. Zacchias enim, vt eſt mitiſsimo ingenio, ad me conuerſus; Iſti, inquit, Socraticam Philoſophiam non valdè copioſè tantùm, ſed regio etiam apparatu acceperunt. At neſciunt, mi Leo, eam munificentiore hoſpitio ex eiuſdem Socratis Epiſtolis, quas iam Latinè redditas, ac notis illuſtratas ad Pariſienſes Typographos tranſmittere paras, accipi poſſe. Mirum enim quantùm in illis diuinæ illius doctrinæ lumen reſplendeat. Tum Valius; Semper aliquid noui, vt eſt in prouerbio, fert Africa, ſed Monſtrum. Nollem à Leone, à quo noua pleraque promittuntur, aliquod etiam Monſtrum nobis obtrudi, & præcipuè his Epiſtolis. Excepit Leonida; In nullo alio ſcriptionis genere tam petulanter ingenium luſit humanum, quàm in epiſtolis confingendis, appingendíſve etiam illis, quibus nec per ſomnium quidem aliquid vnquam ſcribere venit in mentem. Clarum id eſt, ſubdit Meronus; quis enim neſcit Socratem ipſum, Pythagoram, alióſque perplures Philoſophos nihil ſcripto conſignaſſe: & quidquid ſub eorum nomine legitur, à bellulis hiſce eloquentiæ Magiſtellis fuiſſe conflata. Et de Socrate quidem, infert Victorellus, ſi me memoria non fallit, legi neſcio quid apud Plutarchum lib. 1. de Fortuna, ſeu Virtute Alexan-

dri Magni. Non fallit, inquam, memoria. En verba, καί τοιγε οὐδὲ Πυθαγόρας ἔγραψεν οὐδὲν, οὐδὲ Σωκράτης, οὐδὲ Ἀρκεσίλαος, οὐδὲ Καρνεάδης, οἱ δοκιμώτατοι τῶν φιλοσόφων. *Nuper etiam vulgatæ ſunt Epiſtolæ Themiſtoclis, dicit Vallius, quarum concinnitas nonniſi acutioribus omnibus fucum fecit. Eas tamen Themiſtoclis non eſſe vno vel altero loco, in quo ſe prodit Auctor, dum declamatorio modo rem effert, & ſophiſtico penicillo depingit, manifeſtò euincitur. Nec dubito, in Socraticis iſtis, licèt aliàs elegantiſſimis, ſimilia ineſſe quàm plurima, quibus fraudem nudare poſſemus. Quid hîc ais Leo? Monſtrúmne parturis, vt nouum afferas? Ad hæc non potui me continere, quin riderem. Quid enim facerem tam validè ab expertiſſimis Viris veluti è teſſera impetitus? Nec Hercules contra duos. ego ſolus tot, tantíſque vnica tantùm reſponſione ſatisfacerem? Oppugnatus ſum, non expugnatus, ad eos ſermonem dirigens, dixi. Non eæ ſunt rationes, vt me à ſententia dimoueant, quin validiùs confirmor, & poſt hæc argumenta magis audacter aſſeuero, nihil videri impedimento, quominùs hæ Epiſtolæ verè Socratis ſint. Quid de Themiſtocleis ſentiendum ſit, dicent alij. Non tamen illud negari poteſt, ab editione illarum fuiſſe nonnullos, quibus illæ confictæ indicatæ ſunt; nullum tamen ad hunc diem aliquid ſcripto ſignaſſe, quod ego ſciam, quo earum veritatem eneruaret ac frangeret. De Socraticis hiſce quid dicent, non audeo affirmare: neque enim diuina mente ſum, vt res proſpiciam futuras, prædicémque non factas. Erunt tamen, quibus cætera omnia præ ſuis malè olent, qui de iſtis etiam dubitare nullo fundamento, at verbis tamen, non deſinent. Sed quid-*

quid illud ſit, duo nobis hoc principio ſunt recognoſcenda. Primum, an Socrates aliquid de ſuo, ſcripto conſignarit: Alterum, an, licèt ſcripſerit alia, ſcripſerit etiam has Epiſtolas. Tum Zacchias; Infinitas, concertationúmque plenas diſputationes ingrederis. Ne diutiùs in inanibus diſceptationibus immoremur, vnam nobis, & quam primo loco dubitationem propoſuiſti, diſſolue. Altera enim, & quæ ab ea dependet, ab illius expoſitione, terminationéque lumen habebit. Quis enim, dummodò ſcripſerit aliquid Socrates, & has Epiſtolas compoſuiſſe, niſi aliquid aliud obſtiterit, negabit? Euidenter enim ſequitur, ſcripſit alia, ergò potuit & has ſcribere. Si potuit, & hæ ſub illius nomine in antiquis Codicibus leguntur, aliæ earum refellendarum rationes, aliunde quàm à ſcriptione, vel non ſcriptione Socratis petendæ ſunt. Primùm itaque illud tibi probandum erit, Socratem aliqua ſcripſiſſe. id vbi bona hora feceris, alterum tibi concedemus, Epiſtolas has Socratis eſſe. At non ita fiet, Vallius dixit; ſunt enim in illis, vt ex eorum lectione coniicere licet, quædam recentioris æui lumina. compoſitio etiam in aliquibus, artis oratoriæ coloribus polita, & Sophiſtarum ornamentis redundans, quantùm Philoſophum dedeceat, & Philoſophum Socratem, fruſtra eſſet, ſi verbis id conaremur comprobare. Protagoræ, Prodici, Gorgiæ in illis dicendi formam, ac inanem ſæpiùs verborum affectationem, non Socraticam dignitatem, quiſquis earum Auctor fuit, expreſſit. Quantò meliùs, addit Meronus, recentiores Sophiſtæ, ac aliorum geniorum imitatores antiquioribus illis hoc argumentum peregerunt, qui non nudum nomen illius, quem ſibi imitandum propoſuiſſent, præfigere, ſed ſuum ſole-

